[d] Plut. 871 A, Schol. Pind. *Ol.* xiii. 32, *P.L.G.*[4] iii. 481, Diehl ii. 102, *cf.* 101, Edmonds, *Elegy and Iambus* (L.C.L.) ii. 380.
[h] Plutarch says that bronze images of them were set up at the commemoration. His text varies greatly from that of Athenaeus.

καὶ οἱ ἰδιῶται δὲ κατεύχονται τῇ θεῷ τελεσθέντων περὶ ὧν ἂν ποιῶνται τὴν δέησιν ἀπάξειν[1] αὐτῇ καὶ τὰς[2] ἑταίρας. ὑπάρχοντος οὖν τοῦ τοιούτου νομίμου περὶ τὴν θεὸν Ξενοφῶν ὁ Κορίνθιος ἐξιὼν εἰς Ὀλυμπίαν ἐπὶ τὸν ἀγῶνα καὶ αὐτὸς ἀπάξειν[3]
f ἑταίρας εὔξατο τῇ θεῷ νικήσας. Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς αὐτὸν ἐγκώμιον οὗ ἡ ἀρχὴ "τρισολυμπιονίκαν ἐπαινέων οἶκον," ὕστερον δὲ καὶ σκόλιον τὸ παρὰ τὴν θυσίαν ᾀσθέν, ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας αἳ παραγενομένου τοῦ Ξενοφῶντος καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν. διόπερ ἔφη·

ὦ Κύπρου δέσποινα, τεὸν δεῦτ' ἐς ἄλσος
φορβάδων κορᾶν ἀγέλαν[4] ἑκατόγγυι-
574 ον Ξενοφῶν[5] τελέαις[6]
ἐπήγαγ'[7] εὐχωλαῖς ἰανθείς.

ἤρξατο δ' οὕτως τοῦ μέλους[8]·

πολύξεναι[9] νεάνιδες ἀμφίπολοι
Πειθοῦς ἐν ἀφνειῷ[10] Κορίνθῳ,

[1] ἐπάξειν Schweighäuser, *cf.* below, 574 a.
[2] τακτὰς for καὶ τὰς Schweighäuser. Wilamowitz, on the other hand, deleted τὰς, retaining καὶ.
[3] ἐπάξειν ν' (=50) Schweighäuser.
[4] Casaubon: κόραν ἀγέλαν ἑκατογγύϊον A.
[5] Musurus: ξενοφόων A.
[6] Boeckh: τελείαισ A.
[7] ἀπάγαγ' Meineke, *cf.* 573 e.
[8] Casaubon: τέλουσ A.
[9] Boeckh: πολύξειναι A.
[10] ἀφνεῷ Schroeder, p. 26. 46; *cf.* Athen. 782 d (vol. v. p. 42).

[a] Or, reading τακτὰς for καὶ τὰς, "a definite number of courtesans." See critical note 2.

Even private citizens vow to the goddess that, if those things for which they make petition are fulfilled, they will even render courtesans to her.[a] Such, then, being the custom regarding the goddess, Xenophon of Corinth also, when he went forth to Olympia to take part in the contest, vowed that he would render courtesans [b] to the goddess if he won the victory. And so Pindar at first wrote in Xenophon's honour the eulogy [c] which begins with the words, "Thrice victorious at Olympia is the house which I praise"; and later he wrote also the round which was sung at the sacrificial feast, in which, at its very beginning, he has addressed the courtesans who joined in the sacrifice when Xenophon was present and offered it to Aphroditê. That is why he has said [d]: "O Queen of Cyprus! Hither to thy sanctuary Xenophon hath brought a troupe of one hundred girls to browse,[e] gladdened as he is by his vows now fulfilled." But the beginning of the lyric is as follows: "Young girls, who welcome many strangers with your hospitality, ministrants of Persuasion in rich Corinth—who on the altar send up in

[b] Or, accepting Schweighäuser's addition of ν' after ἀπάξειν (see critical note 3), "fifty courtesans," known as ἱερόδουλοι. But see note *e* on ἑκατόγγυιον below.

[c] *Ol.* xiii. 1, celebrating Xenophon's victory, 464 B.C., in the foot-race (στάδιον) and the pentathlum.

[d] *P.L.G.*[5] i. 435, Sandys 580, Puech ii. 188. These editors class the fragment with the ἐγκώμια (so Bowra); but Fennell with the σκόλια, and Farnell (apparently) with the παρθένεια! See Suid. *s.* Πίνδαρος.

[e] Euphemistic for "to practise prostitution." Puech, denying that γυῖον can refer to the whole body, translates, "fifty girls" *i.e.* one hundred arms (or legs!). He follows Schweighäuser's suggestion to add ν' before ἑταίρας; see note *b*. Yet γυῖον seems to mean "body" in Pind. *Nem.* vii. 73.

αἵ τε τὰς χλωρᾶς[1] λιβάνου ξανθὰ δάκρη[2]
θυμιᾶτε,[3] πολλάκι ματέρ'[4] Ἐρώτων
οὐρανίαν πτάμεναι[5]
νόημα[6] ποτὰν Ἀφροδίταν·
ὑμῖν ἄνευθεν ἐπαγορίας[7] ἔπορεν,
ὦ παῖδες, ἐρατειναῖς ἐν[8] εὐναῖς
μαλθακᾶς ὥρας[9] ἀπὸ καρπὸν δρέπεσθαι.
σὺν δ' ἀνάγκᾳ πᾶν καλόν.[10]

ἀρξάμενός θ' οὕτως ἑξῆς φησιν·

b ἀλλὰ θαυμάζω τί με λεξοῦντι Ἰσθμοῦ[11]
δεσπόται τοιάνδε[12] μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου,
ξυνάορον ξυναῖς γυναιξί.

δῆλον γὰρ ὅτι πρὸς τὰς ἑταίρας διαλεγόμενος ἡγωνία ποῖόν τι φανήσεται τοῖς Κορινθίοις τὸ πρᾶγμα. πιστεύων δέ, ὡς ἔοικεν, αὐτὸς αὐτῷ πεποίηκεν εὐθέως·

ἐδιδάξαμεν[13] χρυσὸν καθαρᾷ[14] βασάνῳ.

ὅτι δὲ καὶ Ἀφροδίσια ἴδια ἄγουσιν αὐτόθι αἱ ἑταῖραι, Ἄλεξις ἐν Φιλούσῃ φησίν·

Ἀφροδίσι' ἦγε[15] ταῖς ἑταίραις ἡ πόλις,
c ἕτερα δὲ χωρίς ἐστι ταῖς ἐλευθέραις.

[1] Tittmann: διαι τετασχειρασ A.
[2] Bergk: δάκρυά A.
[3] Tittmann (cf. Zonaras, Lex. s. λίβανον): τε ἡμῖν A.
[4] Boeckh: πολλάκισ ματέρασ A.
[5] Hermann: οὐρανιαν (sic) ἵπτάμεναι A.
[6] Hermann: νοήματι A.
[7] Meineke: ἄνωθεν ἀπαγοριασ A.
[8] ἐν added by Boeckh.
[9] Boeckh: μαλθακωρασ A.

smoke the auburn tears of fresh frankincense the many times that ye fly in thought up to the Mother of the Loves, heavenly Aphroditê; upon you, my children, free from reproach,[a] she hath bestowed the right to cull the fruit of soft beauty in your desired embraces. When Necessity requires it, all things are fair." And so, having begun in this way, Pindar continues: "And yet I wonder what the lords of the Isthmus[b] will say of me, seeing that I have devised such a prelude as this to a glee with honeyed words, linking myself with common women." It is indeed plain that in addressing himself to these prostitutes the poet was anxious as to how the affair was going to appear in the eyes of the Corinthians. But having full confidence in his own integrity, as it would seem, he straightway adds: "We have taught how to test gold by a pure touchstone." But that the prostitutes also celebrate their own festival of Aphroditê at Corinth is shown by Alexis in *The Girl in Love*[c]: "The city celebrated[d] a festival of Aphroditê for the prostitutes, but it is a different one from that held separately for freeborn women. On these days it is

[a] Or, retaining with Kaibel the MS. reading ἄνωθεν ἀπαγορίας, "above (and beyond the necessity of) defence"; but this stretches the meaning of ἄνωθεν too far. The sense is the same with either reading: their trade was condemned in the name of Aphroditê, although in the following lines the poet confesses that he has qualms about it.

[b] The Corinthian officials who presided at the Isthmian games.

[c] Kock ii. 389.

[d] Or, "celebrates"; see critical note 15.

---

[10] Boeckh: παγκαλον A. [11] Casaubon: ὁμοῦ A.
[12] Schweighäuser: τοιονδε (*sic*) A.
[13] ἐδιδαξαμεν A, διδάξαμεν Hermann, ἐδείξαμεν Hecker.
[14] Casaubon: κιθάρα (*sic*) A. [15] ἄγει μὲν Kaibel.

ταῖς ἡμέραις ταύταις δὲ κωμάζειν ἔθος
ἐστὶν νόμος τε τὰς ἑταίρας ἐνθάδε
μεθύειν[1] μεθ' ἡμῶν.

Ἐν δὲ Λακεδαίμονι, ὥς φησι Πολέμων ὁ περιηγητὴς ἐν τῷ περὶ τῶν ἐν Λακεδαίμονι Ἀναθημάτων, εἰκών ἐστι τῆς διαβοήτου ἑταίρας Κοττίνας, ἣν φησιν καὶ βοῦν ἀναθεῖναι χαλκῆν, γράφων οὕτως· "καὶ τὸ Κοττίνας δὲ τῆς ἑταίρας εἰκόνιον,
d ἧς διὰ τὴν ἐπιφάνειαν οἴκημά τι λέγεται καὶ νῦν ἐγγυτάτω τῆς Κολώνης, ἵνα τὸ Διονύσιόν ἐστιν, ἐπιφανὲς καὶ πολλοῖς ἐγνωσμένον τῶν ἐν τῇ πόλει. ἀνάθημα[2] δ' αὐτῆς ἐστιν ὑπὲρ τὸ τῆς Χαλκιοίκου βοΐδιόν τι χαλκοῦν καὶ τὸ προειρημένον εἰκόνιον." Ἀλκιβιάδης δὲ ὁ καλός, ἐφ' οὗ τις τῶν κωμικῶν ἔφη·

Ἀλκιβιάδην τὸν ἁβρόν, ὦ γῆ καὶ θεοί,
ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λαβεῖν,

ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικός, ἐπὶ τὰς τῶν ἑταιρίδων θύρας ἐκώμαζεν, ἀπολιπὼν τὰς
e Λακαίνας καὶ τὰς Ἀττικάς. Μεδοντίδος γοῦν τῆς Ἀβυδηνῆς ἐξ ἀκοῆς ἐρασθεὶς ἔστερξε καὶ πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιόχῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστής, ὥς φησιν Λυσίας ὁ ῥήτωρ ἐν τῷ

[1] μεθύειν added by Porson. [2] ἀναθήματα (?) Kaibel.

---

[a] Preller 48.
[b] Κολώνα in Paus. iii. 13. 7; it was a hill in the eastern part of the city, near the Eurotas, Bursian, *Geog.* ii. 126.
[c] Dionysus Κολωνάτας, Paus. *loc. cit.* Frazer in his note takes οἴκημα to mean a chapel.
[d] Kock iii. 398.

customary for the prostitutes to revel, and it is quite in the mode for them to get drunk here in our company."

Now in Lacedaemon, as Polemon the geographer says in his work, *On the dedicatory offerings in Lacedaemon*, there is an image of the notorious courtesan Cottina who, he says, dedicated a bronze cow; he writes as follows[c]: "Further, there is the small image of the courtesan Cottina, who made such a sensation that even to-day a brothel is named after her, very near Colonê,[b] where the temple of Dionysus[c] is; the house is conspicuous and well-known to many inhabitants of the city. Her votive offering, beyond the statue of Athena of the Bronze House, consists of a small bronze cow and the small image of herself before mentioned." Now Alcibiades the beauty, —of whom a comic poet has said[d]: "Alcibiades, that dainty one, Oh Earth and Gods! whom Lacedaemon wants to arrest as an adulterer,"—although he was loved by the wife[e] of Agis, used to leave the married women of Sparta and Attica alone to break in at the doors of prostitutes. For example, he conceived a passion for Medontis[f] of Abydus on mere report of her charms, and sailing to the Hellespont in company with Axiochus, who was captivated by Alcibiades' beauty, as the orator Lysias

[e] Timaea. On her infatuation for Alcibiades, to whom she is said to have borne a son, see Plut. *Alc.* 23, Athen. 535 b (vol. v. p. 416).

[f] Athen. 534 f (vol. v. p. 416), *cf.* 525 b (vol. v. p. 368); see also 535 c, where the name of Timandra, who is there said to be the mother of the elder Lais (so Plut. *Alc.* 39), occurs in place of Damasandra; the latter, meaning "man-crusher," may be an epithet originating with some comic poet. According to Plut. *Alc.* 39, it was Timandra who cared for the dead Alcibiades.

κατ' αὐτοῦ λόγῳ, καὶ ταύτης ἐκοινώνησεν αὐτῷ. καὶ ἑτέρας δὲ δύο ἑταίρας περιήγετο[1] αἰεὶ ὁ Ἀλκιβιάδης, Δαμασάνδραν τὴν Λαΐδος τῆς νεωτέρας μητέρα καὶ Θεοδότην· ὑφ' ἧς καὶ ἀποθανὼν ἐκηδεύθη ἐν Μελίσσῃ[2] κώμῃ τῆς Φρυγίας, ἐπιβου-
f λευθεὶς ὑπὸ Φαρναβάζου. εἴδομεν δὲ καὶ ἡμεῖς τὸ ἐν Μελίσσῃ τοῦ Ἀλκιβιάδου μνῆμα ἐκ Συννάδων εἰς Μητρόπολιν ἀφικνούμενοι· ἐφ' ᾧ[3] καὶ κατ' ἔτος θύεται βοῦς, διακελευσαμένου τοῦτο τοῦ πάντα ἀρίστου Ἀδριανοῦ βασιλέως· ὃς καὶ ἀνέστησεν ἐπὶ τῷ μνήματι Παρίου λίθου εἰκόνα τὸν Ἀλκιβιάδην.
575 Οὐ χρὴ δὲ θαυμάζειν εἰ ἐξ ἀκοῆς τινες ἠράσθησάν τινων, ὁπότε Χάρης ὁ Μιτυληναῖος ἐν τῇ δεκάτῃ[4] τῶν Ἱστοριῶν τῶν περὶ Ἀλέξανδρόν φησιν πολλοὺς[5] ὀνείρατι θεασαμένους τινὰς οὓς μὴ πρότερον εἶδον ἐρασθῆναι αὐτῶν· γράφει δὲ οὕτως· "Ὑστάσπη νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, περὶ ὧν λέγουσιν οἱ ἐπιχώριοι ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν. ἐκυρίευσεν δὲ ὁ μὲν Ὑστάσπης Μηδίας καὶ τῆς ὑποκάτω χώρας, ὁ δὲ
b Ζαριάδρης τῆς[6] ὑπεράνω Κασπίων πυλῶν μέχρι τοῦ Τανάιδος. τῶν δὲ ἐπέκεινα τοῦ Τανάιδος

[1] Meineke: ἐπήγετο ACE. [2] CE: μελίσσησ A.
[3] ἐφ' ᾧ Kaibel: ἐν ᾧ ACE.
[4] Kaibel: τῷ δεκάτῳ A.
[5] πολλοὺς added by Gulick from C (πολλοί in different constr.), om. A.
[6] Kaibel: τῶν ACE.

---

[a] Thalheim 346, Herwerden 239.
[b] Above, 570 c, p. 81, 535 e (vol. v. p. 420). See the account

asserts in the speech against him,[a] he shared her with Axiochus. And further, Alcibiades always led about with him two other prostitutes, Damasandra, mother of the younger Laïs, and Theodotê; the latter, when he died as the result of a plot by Pharnabazus,[b] gave him burial in Melissa, a village of Phrygia. We, too, saw the monument to Alcibiades in Melissa when we were on our way from Synnada to Metropolis; at this monument an ox is sacrificed every year by express command of the Emperor Hadrian, most noble in all things, who even set up at the monument an image of Alcibiades in Parian marble.[c]

We need not wonder that people have fallen in love with others on mere report, seeing that Chares of Mytilenê in the tenth book of his *Histories of Alexander* asserts that many, having seen in a dream certain persons whom they had never seen before, fell in love with them; he writes as follows[d]: "Hystaspes had a younger brother named Zariadres; concerning both of them the natives say that they were the sons of Aphroditê and Adonis. Now Hystaspes was overlord of Media and the territory below it, whereas Zariadres ruled over the region above the Caspian Gates, as far as the Tanaïs river.

of his tragic end in C. E. Robinson, *The Days of Alcibiades*, 300, F. Taeger, *Alkibiades*, 175.

[c] Bernoulli, *Gr. Ikon.* i. 205-213. *Script. Al. M.* 119, J. 2 B 660.

[d] On this folk-tale see Rohde, *Griech. Roman*[3] 47 ff. In some features it resembles the early English (Scandinavian) romance of King Horn. Even the excerptors who wrote Codd. C and E take the trouble to copy this story in full, perhaps because they lived at the time (13th century) when such stories were popular. See G. H. M'Knight, *King Horn* (1901).

Ὁμάρτῃ[1] βασιλεῖ Μαραθῶν[2] θυγάτηρ ἦν ὄνομα Ὀδάτις[3]· περὶ ἧς ἐν ταῖς ἱστορίαις γέγραπται ὡς ἄρα κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν Ζαριάδην ἐρασθείη, τὸ δ' αὐτὸ τοῦτο κἀκείνῳ πάθος συμπεσεῖν πρὸς αὐτήν. διετέλουν γοῦν[4] ἀλλήλων ἐπιθυμοῦντες διὰ τὴν κατὰ τὸν ὕπνον φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις[5] καλλίστη τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδης δὲ ἦν καλός. πέμποντος οὖν τοῦ Ζαριάδου πρὸς τὸν Ὁμάρτην καὶ φιλοτιμουμένου
e γῆμαι τὴν ἄνθρωπον, οὐ συνετίθετο ὁ Ὁμάρτης[6] διὰ τὸ εἶναι ἀρρένων παίδων ἔρημος[7]· ἤθελεν γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ αὐτὸν οἰκείων. καὶ μετ' οὐ πολὺν χρόνον ὁ Ὁμάρτης συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας καὶ φίλους καὶ συγγενεῖς ἐποιεῖτο τοὺς γάμους, οὐ προειπὼν ὅτῳ μέλλοι διδόναι τὴν θυγατέρα. ἀκμαζούσης οὖν τῆς μέθης εἰσκαλέσας τὴν Ὀδάτιν ὁ πατὴρ εἰς τὸ συμπόσιον εἶπεν ἀκουόντων τῶν συνδείπνων· 'ἡμεῖς, ὦ θύγατερ Ὀδάτι,[3] νῦν ποιούμεθα τοὺς σοὺς γάμους.
d περιβλέψασα οὖν καὶ θεωρήσασα πάντας λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσασα δὸς ᾧ θέλεις γαμηθῆναι· τούτου γὰρ κεκλήσῃ γυνή.' κἀκείνη περιβλέψασα πάντας ἀπῄει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῷ ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ δὲ στρατοπεδεύων ἐπὶ τοῦ Τανάιδος διαλαθὼν[8] τὴν στρατοπεδείαν

[1] ομαρτη A, ὁμάρτῃ C.
[2] μαραθων A: Μαιωτῶν or Σαρματῶν Holsten, Μαραφίων (cf. Herod. i. 125) Schöll.
[3] ὁδατισ A.
[4] οὖν Cobet, Kaibel.
[5] οδατισ A.
[6] ἀμάρτησ A.
[7] διὰ . . . ἔρημος om. C, which has ἤθελε for ἤθελεν. Kaibel, placing the colon after ὁ Ὁμάρτης and dropping it after

And Homartes, who was king of the Marathi, beyond the Tanaïs, had a daughter named Odatis; of her it is recorded in the histories that she saw Zariadres in a dream and became enamoured of him, while the same passion for her attacked him in the same way. At any rate they continued to long for each other in the imaginings of sleep. Now Odatis was the most beautiful woman in Asia, and Zariadres also was handsome. So Zariadres sent to Homartes in his eager desire to marry the woman, but Homartes would not agree to the match, because he lacked male children and wanted to give her to a male of his own household. After a brief interval Homartes gathered the princes of the kingdom together with his friends and relatives, and proceeded to celebrate the nuptials without announcing to whom he intended to give his daughter. Well, when the drinking was at its height the father summoned Odatis to the symposium, and in the hearing of the guests he said: 'My daughter Odatis, to-day we are celebrating your nuptials. Look around, therefore, and after inspecting all the men take a gold cup,[a] fill it with wine, and give it to the man to whom you wish to be married; for his wife you shall be called.' And the poor girl, after looking all around, turned away in tears, yearning as she did to see Zariadres; for she had warned him that the nuptials were to be celebrated. He, meanwhile, was encamped at the Tanaïs river, which he crossed with-

[a] The flat, saucer-like vessel called φιάλη was regularly used in pledging the bridegroom at the marriage feast, Pind. *Ol.* vii. 1, quoted by Athen. 504 a (vol. v. p. 258).

ἔρημος, suggests διὰ γὰρ τὸ . . . ἤθελεν αὐτὴν, which is logically better, but not necessarily what Chares wrote.

[8] Ὀδάτι om. CE.

[9] διαλαθὼν CE: καὶ διαλαθὼν A.

διέβη μετὰ μόνου τοῦ ἁρματηλάτου καὶ νυκτὸς
ὁρμήσας ἐπὶ τοῦ ἅρματος διῆλθεν διὰ γῆς πολλῆς,[1]
e διώξας περὶ τοὺς ὀκτακοσίους σταδίους. πλησίον
δὲ τῆς κώμης γενόμενος ἐν ᾗ τοὺς γάμους συν-
ετέλουν[2] καὶ καταλιπὼν ἔν τινι τόπῳ αὐτῷ ἅρματι
τὸν ἁρματηλάτην προῆγεν ἐνδεδυκὼς στολὴν Σκυ-
θικήν. καὶ παρελθὼν εἰς τὴν αὐλὴν καὶ ἰδὼν τὴν
Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλικείου[3] καὶ δακρύου-
σαν κιρνᾶσάν τε βραδέως τὴν φιάλην εἶπεν πλησίον
στὰς παρ' αὐτήν· 'ὦ Ὀδάτι, πάρειμι δή σοι
καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης.' ἡ δὲ κατα-
νοήσασα ξένον ἄνδρα καὶ καλὸν καὶ ὅμοιον τῷ
κατὰ τὸν ὕπνον ἑωραμένῳ περιχαρὴς γενομένη
f δίδωσιν αὐτῷ τὴν φιάλην· καὶ ὃς ἁρπάσας αὐτὴν
ἀπήγαγεν ἐπὶ τὸ ἅρμα καὶ ἔφυγεν ἔχων τὴν
Ὀδάτιν. οἱ δὲ παῖδες καὶ αἱ θεράπαιναι συνειδυῖαι
τὸν ἔρωτα κατεσιώπησαν καὶ κελεύοντος τοῦ πατ-
ρὸς λαλεῖν[4] οὐκ ἔφασαν εἰδέναι ὅπου[5] πεπόρευται.
μνημονεύεται δὲ ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν
οἰκοῦσι βαρβάροις καὶ περισσῶς ἐστι ζηλωτός, καὶ
τὸν μῦθον τοῦτον ζωγραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ
τοῖς βασιλείοις, ἔτι δὲ ταῖς ἰδιωτικαῖς οἰκίαις·
καὶ ταῖς ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυ-
ναστῶν ὄνομα τίθενται Ὀδάτιν."

576 Τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν
τῇ Μασσαλιωτῶν Πολιτείᾳ γράφων οὕτως· "Φω-
καεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν
Μασσαλίαν. Εὔξενος δὲ ὁ Φωκαεὺς Νάνῳ[6] τῷ
βασιλεῖ (τοῦτο δ' ἦν αὐτῷ ὄνομα) ἦν ξένος. οὗτος

[1] γῆς πολλῆς Kaibel: τῆσ πόλεωσ ACE.
[2] ἐτέλει C. [3] CE: κυλικίου A. [4] Kaibel: καλεῖν A.
[5] ὅποι Meineke. [6] CE: νάνωι A.

out the knowledge of his army, and accompanied solely by his chariot-driver he started off at night in his chariot, traversing a large territory for a distance of about 800 stades.[a] And getting near the village in which they were celebrating the nuptials he left the chariot-driver with the chariot in a certain place and proceeded on his way disguised in Scythian clothes. Passing into the court he spied Odatis standing in front of the sideboard weeping, while she slowly mixed the cup; and taking his stand beside her he said, 'Odatis, I am here according to your desire, I, Zariadres.' And she, perceiving a stranger there who was at once handsome and like the one she had seen in her sleep, was overjoyed, and gave the cup to him; he, catching her up, carried her off to his chariot and escaped with Odatis as his bride. Meanwhile the slaves and the serving-maids, conscious that this was a love affair, lapsed into silence, and although the father commanded them to speak out they professed not to know where the young man had gone. Now this love affair is held in remembrance among the barbarians who live in Asia and it is exceedingly popular; in fact they picture this story in their temples and palaces and even in private dwellings; and most princes bestow the name Odatis on their own daughters."

Aristotle, also, records the occurrence of a similar affair in his *Constitution of Massilia*, writing as follows[b]: "The people of Phocaea, in Ionia, devoted as they were to commerce, founded Massilia.[c] Euxenus of Phocaea was a friend of the king, Nannus (for that was his name). This Nannus was celebrating

[a] One hundred miles.
[b] Frag. 549 Rose.
[c] Marseilles, about 600 B.C.

ὁ Νάννος ἐπιτελῶν γάμους τῆς θυγατρὸς κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν[1] ἐπὶ τὴν θοίνην. ὁ δὲ γάμος ἐγίγνετο τόνδε τὸν[2] τρόπον· ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν
b παρόντων μνηστήρων· ᾧ δὲ δοίη, τοῦτον εἶναι νυμφίον.[3] ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δ' ἦν τῇ παιδὶ Πέττα.[4] τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως ἔχειν αὐτήν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι[5] καλούμενον· Πρῶτις γὰρ[6] ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς Ἀριστοξένης."

c Θεμιστοκλῆς τε,[7] ὥς φησιν Ἰδομενεύς, οὐχ ἅρμα ζευξάμενος ἑταιρῶν πληθούσης ἀγορᾶς εἰσήλασεν εἰς τὸ ἄστυ; ἦσαν δ' αὗται Λάμια καὶ Σκιώνη καὶ Σατύρα καὶ Νάννιον. οὐ καὶ αὐτὸς Θεμιστοκλῆς ἐξ ἑταίρας ἦν γεγενημένος[8] ὄνομα Ἀβροτόνου;[9] ὡς Ἀμφικράτης[10] ἱστορεῖ ἐν τῷ περὶ Ἐνδόξων Ἀνδρῶν συγγράμματι·

Ἀβρότονον Θρήισσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησίν φασι[11] Θεμιστοκλέα.

[1] παρακεκλήκει Lumb, παρεκάλεσεν Kaibel.
[2] τὸν Musurus: om. A, κατὰ τὸν ἄνω ῥηθέντα τρόπον C, perhaps rightly.
[3] B, Musurus: νῦν A.
[4] Γέπτα (?) Kaibel: πέττα A, πέττας (genitive, in a different constr.) C.
[5] οἱ πρωτιάδαι C.
[6] Πρωτίας (?) Kaibel.
[7] δὲ Schweighäuser.
[8] γεγεννημένος A.
[9] ἀβροτόνου CE, ἀβροτόννου A, Ἀβροτόνου lemma in A.
[10] ἀμφικτύων CE.
[11] φημὶ Plut. *Anth. Pal.* vii. 306.

his daughter's nuptials when, by chance, Euxenus arrived and was invited in to attend the festival banquet. Now the marriage was to be conducted in the following manner[a]: after the dinner the girl was to come in and mix a cup and give it to any one of the suitors present that she desired; and he to whom she gave it was to be bridegroom. When the girl entered she gave the cup, whether by accident or for some other reason, to Euxenus; the girl's name was Petta.[b] When this befell, the father, believing that her giving the cup had been done by divine sanction, thought it only right that Euxenus should have her, so he took her to wife and lived with her, after changing her name to Aristoxenê. And there is a clan in Massilia to this day descended from the woman and called Protiadae; for Protis was the son of Euxenus and Aristoxenê.[c]"

Further, did not Themistocles, as Idomeneus says,[d] yoke a chariot with prostitutes and drive them into the city when the market-place was crowded? They were Lamia, Scionê, Satyra, and Nannion. Was not Themistocles himself born of a prostitute named Abrotonon? So Amphicrates records[e] in his treatise *On Famous Men*: "Abrotonon was a woman Thracian-born; yet, they say, she brought forth Themistocles, that mighty hero of Greece."

[a] Or, adopting the reading of C (see critical note 2), "the marriage was to be conducted in the manner described above."

[b] Justin 43. 3 gives her name as Gyptis.

[c] These two brief romances interrupt the story of licentiousness begun with Alcibiades at 574 d, p. 103; the story is now resumed.

[d] *F.H.G.* ii. 491, Athen. 533 d (vol. v. p. 408).

[e] *F.H.G.* iv. 300, *cf.* Plut. *Them.* 1, Ael. *V.H.* xii. 43.

d Νεάνθης δ' ὁ Κυζικηνὸς ἐν τῇ τρίτῃ καὶ τετάρτῃ τῶν Ἑλληνικῶν Ἱστοριῶν Εὐτέρπης αὐτὸν εἶναί φησιν υἱόν. Κῦρος δὲ ὁ ἐπὶ τὸν ἀδελφὸν ἐπιστρατεύσας οὐχὶ ἑταίραν οὖσαν τὴν Φωκαΐδα τὴν σοφωτάτην καὶ[1] καλλίστην λεγομένην[2] εἶχε συστρατευομένην; ἣν Ζηνοφάνης φησὶ πρότερον Μιλτὼ καλουμένην Ἀσπασίαν μετονομασθῆναι. συνηκολούθει δὲ αὐτῷ καὶ ἡ Μιλησία παλλακίς. ὁ δὲ μέγας Ἀλέξανδρος οὐ Θαΐδα εἶχε μεθ' ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν; περὶ ἧς φησι Κλείταρχος ὡς e αἰτίας γενομένης τοῦ ἐμπρησθῆναι τὰ ἐν Περσεπόλει βασίλεια. αὕτη δὲ ἡ Θαΐς μετὰ[3] τὸν Ἀλεξάνδρου θάνατον καὶ Πτολεμαίῳ ἐγαμήθη τῷ πρώτῳ βασιλεύσαντι Αἰγύπτου καὶ ἐγέννησεν αὐτῷ Λεοντίσκον[4] καὶ Λάγον, θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος ὁ Σόλων τῶν ἐν Κύπρῳ βασιλεύς. καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεύς, Φιλάδελφος δ' ἐπίκλην, ὡς ἱστορεῖ ὁ Εὐεργέτης Πτολεμαῖος ἐν τῷ τρίτῳ τῶν Ὑπομνημάτων, πλείστας ἔσχεν ἐρωμένας, Διδύμην μὲν f μίαν τῶν ἐπιχωρίων γυναικῶν μάλ' εὐπρεπεστάτην τὴν ὄψιν καὶ Βιλιστίχην, ἔτι δὲ Ἀγαθόκλειαν καὶ

[1] καὶ added by Casaubon.
[2] λεγομένην Xen.: γενομένην A. [3] μετὰ CE: καὶ μετὰ A.
[4] αὐτῷ λεοντίσκον CE: αὐτῷ τέκνον λεοντίσκον A, τέκνον Λεοντίσκον, deleting καὶ Λάγον Berve.

---

[a] *F.H.G.* iii. 3, J. 2 A 192. Plut. *loc. cit.* quotes Neanthes further to the effect that she was a Carian, from Halicarnassus.
[b] Artaxerxes II; the expedition is the theme of Xenophon's *Anabasis*.
[c] Xen. *Anab.* i. 10. 2 calls her a concubine, παλλακίδα, not ἑταίραν.
[d] Xen. *Anab.* i. 10. 3.

But Neanthes of Cyzicus, in the third and fourth books of his *History of Greece*, says [a] that Themistocles was the son of Euterpê. And as for Cyrus, who made the expedition against his brother,[b] did he not have with him on the expedition the woman of Phocaea, who was a prostitute, though she was called the most wise and most beautiful ? [c] Of her Zenophanes says that she had formerly been called Miltô, but her name was changed to Aspasia. Cyrus was also accompanied by the concubine from Miletus.[d] And did not Alexander the Great keep with him Thaïs, the Athenian prostitute ? Cleitarchus speaks [e] of her as having occasioned the burning of the palace at Persepolis. This Thaïs, after Alexander's death, was married to Ptolemy, the first king of Egypt, and bore to him Leontiscus and Lagus, also a daughter, Eirenê, who was married to Eunostus, the king of Soli in Cyprus. Again, the second king of Egypt surnamed Philadelphus, according to Ptolemy Euergetes in the third book of his *Commentaries*,[f] had a very great number of mistresses : Didymê, one of the native Egyptian women, of very extraordinary beauty, and Bilistichê,[g] also Agathocleia, and Stratonicê, whose

[e] *Script. Alex. M.* 77, J. 2 B 745, 2 BD 490. See Plut. *Alex.* 38, who expands the narrative to show that the burning of the palace of Xerxes was in reprisal for what Xerxes had done to Athens. Arrian iii. 18. 10 places the conflagration in Pasargadae, and says that it was brought about in spite of Parmenion's protest ; *cf.* Diod. xvii. 72, Q. Curt. v. 7. 3-7, Berve, *Alexanderreich* ii. 175, *cf.* 304. How much truth is in the story cannot be determined. On such reprisals see Bickermann, *Rev. des études grecques*, 1934, 365-368.

[f] *F.H.G.* iii. 186, J. 2 B 984.

[g] Mentioned as his concubine by Clem. Al. *Protr.* 4. 48 Dindorf (Βιστίχην, Βίστιχιν), *cf.* Plut. 753 c ; below, 596 e, p. 217.

Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇ πρὸς Ἐλευσῖνι θαλάσσῃ, καὶ Μύρτιον καὶ ἄλλας δὲ πλείστας, ἐπιρρεπέστερος ὢν πρὸς ἀφροδίσια. Πολύβιος δὲ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἱστοριῶν Κλεινοῦς φησι τῆς οἰνοχοούσης αὐτῷ εἰκόνας πολλὰς ἀνακεῖσθαι κατὰ τὴν Ἀλεξάνδρειαν μονοχίτωνας καὶ ῥυτὸν ἐχούσας ἐν ταῖς χερσίν. αἱ δὲ κάλλισται τῶν οἰκιῶν, φησίν, οὐ Μυρτίου καὶ Μνησίδος καὶ Ποθεινῆς προσαγορεύονται; καίτοι Μνησὶς μὲν ἦν αὐλητρίς, ἦν δὲ καὶ Ποθεινὴ αὐλητρίς,[1] Μύρτιον δὲ μία τῶν ἀποδεδειγμένων καὶ κοινῶν δεικτηριάδων.[2] τοῦ δὲ
577 Φιλοπάτορος βασιλέως Πτολεμαίου οὐκ Ἀγαθόκλεια ἡ ἑταίρα ἐκράτει, ἡ καὶ πᾶσαν ἀνατρέψασα τὴν βασιλείαν; Εὔμαχος δὲ ὁ Νεαπολίτης ἐν τῇ δευτέρᾳ τῶν περὶ Ἀννίβαν Ἱστοριῶν Ἱερώνυμόν[3] φησι τὸν τυραννήσαντα Συρακοσίων ἀγαγέσθαι γυναῖκα μίαν[4] τῶν ἐπ' οἰκήματος προεστηκυιῶν, Πειθὼ ὄνομα, καὶ ἀποδεῖξαι βασιλίδα.

Τιμόθεος δ' ὁ στρατηγήσας Ἀθηναίων ἐπιφανῶς ἑταίρας ἦν υἱὸς Θράττης τὸ γένος, σεμνῆς δ' ἄλλως τοὺς τρόπους. μεταβάλλουσαι γὰρ αἱ τοιαῦται εἰς τὸ σῶφρον τῶν ἐπὶ τούτῳ σεμνυ-
b νομένων εἰσὶ βελτίους. ὁ δὲ Τιμόθεος καὶ σκωπτόμενός ποτε ὅτι τοιαύτης εἴη μητρὸς " καὶ χάριν γε αὐτῇ, φησίν, οἶδα, ὅτι δι' αὐτὴν Κόνωνός εἰμι

[1] ἦν δὲ and αὐλητρίς added from C: καὶ Ποθεινὴ alone A, after which Kaibel marked a lacuna, supplying ὀρχηστρίς.
[2] Casaubon: δικτηριάδων A.
[3] ἱέρων (in different constr.) C. [4] μίαν added by Kaibel.

[a] Chap. 11. 2.
[b] See Athen. 425 e (vol. iv. p. 426), Navarre in *Rev. des ét.*

great monument used to stand on the seashore near Eleusis; also Myrtion and very many others, since Ptolemy had a more than ordinary leaning to affairs of love. Polybius, in the fourteenth book of his *Histories*, says[a] that many images of Cleinô,[b] the girl who was his cupbearer, are set up in Alexandria, wearing only a tunic and holding a drinking-horn in her hand. And are not the finest houses, Polybius asks, named after Myrtion and Mnesis and Potheinê? And yet Mnesis was a flute-girl, Potheinê also was a flute-girl, while Myrtion was one of the most notorious variety-actresses before the public. And did not the prostitute Agathocleia hold sway over King Ptolemy Philopator—she who overturned his throne entirely?[c] Eumachus of Neapolis, in the second book of his *Histories of Hannibal*, says[d] that Hieronymus, the tyrant of Syracuse, took to wife one of the prostitutes from a brothel, named Peithô, and made her queen.

Timotheüs, the Athenian general, was known to be the son of a prostitute of Thracian birth, otherwise respectable in her manners. For when such women change to a life of sobriety they are better than the women who pride themselves on their respectability. And when Timotheüs was once jeered at because he came from such a mother he answered, "Yes, and what is more, I am grateful to her because she made

anc. 16 (1914), 39 (on the ἄβρα, "mi-servante, mi-demoiselle," in New Comedy), below, 589 f (p. 181). On the drinking-horn (ῥυτόν) as an attribute also of Arsinoë see 497 b (vol. v. p. 218).

[c] So Trogus, *Prol.* xxx. Her influence was so complete that Strab. 795 calls her his mother, *cf.* Polyb. xv. 31 end. See Plut. *Cleom.* 33, *cf.* 753 D; on her death at the hands of the mob, Polyb. xv. 33.

[d] *F.H.G.* iii. 102, J. 2 B 906.

υἱός." Φιλέταιρον δὲ τὸν Περγάμου[1] καὶ τῆς Καινῆς ταύτης λεγομένης βασιλεύσαντα χώρας Βόας αὐλητρίδος, ἑταίρας τὸ γένος ἀπὸ Παφλαγονίας, υἱόν φησι γενέσθαι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν. Ἀριστοφῶν δ' ὁ ῥήτωρ, ὁ τὸν νόμον εἰσενεγκὼν ἐπ' Εὐκλείδου ἄρχοντος ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται νόθον εἶναι, αὐτὸς ἀπεδείχθη
e ὑπὸ Καλλιάδου[2] τοῦ κωμικοῦ ἐκ Χορηγίδος τῆς ἑταίρας παιδοποιησάμενος, ὡς ὁ αὐτὸς ἱστορεῖ Καρύστιος ἐν τρίτῳ Ὑπομνημάτων. Δημήτριος δ' ὁ Πολιορκητὴς οὐ δαιμονίως ἤρα Λαμίας τῆς αὐλητρίδος, ἐξ ἧς ἔσχε καὶ θυγατέρα Φίλαν; τὴν δὲ Λάμιαν Πολέμων φησὶν ἐν τῷ περὶ τῆς ἐν Σικυῶνι Ποικίλης Στοᾶς θυγατέρα μὲν εἶναι Κλεάνορος Ἀθηναίου, κατασκευάσαι δὲ Σικυωνίοις τὴν προκειμένην στοάν. ἤρα δὲ καὶ Λεαίνης καὶ
d αὐτῆς ἑταίρας Ἀττικῆς ὁ Δημήτριος καὶ ἄλλων δὲ πλειόνων.

[1] Musurus: περὶ γάμου A.
[2] Καλλίου Meineke.

---

[a] *i.e.* "New," adjacent to Pergamum; not the same as Καινὸν χωρίον in Pontus, Strabo 556, nor to be confused with the territory of the Caeni, a tribe in Thrace later conquered by Attalus II, Strabo 624.

[b] *F.H.G.* iv. 358. On Philetaerus, a eunuch whose brothers founded the Attalid dynasty, see Strabo 543, 623 and Bevan, *House of Seleucus* i. plate 1, no. 4. His rule lasted twenty years, to 263 or 260 B.C.

[c] 403-402 B.C.

me the son of Conon." Again, Philetaerus, who was king of Pergamum and that country known as Caenê,[a] is said to have been the son of a flute-girl named Boa, a prostitute of Paphlagonian birth, according to Carystius of Pergamum in his *Historical Notes*.[b] And the orator Aristophon, the same who in the archonship of Eucleides[c] proposed the law that whoever was not born of a citizen mother should be accounted illegitimate,[d] was himself shown by the comic poet Calliades[e] to have had children by the prostitute Choregis, as Carystius again records in the third book of his *Notes*.[f] And was not Demetrius Poliorcetes passionately in love with the flute-girl Lamia,[g] by whom also he had a daughter, Phila? Of Lamia Polemon says,[h] in his book *On the Painted Porch in Sicyon*, that she was the daughter of Cleanor of Athens, and that she built for the Sicyonians the Porch in question. But Demetrius was also in love with Leaena, also an Athenian prostitute, and with a good many other women besides.[i]

[a] In the sense that he could not be enrolled as a citizen on coming of age.

[c] A Calliades, poet of the New Comedy, is mentioned by Athen. 401 a (vol. iv. p. 314). Whether we accept Meineke's alteration to Καλλίου, or (with greater probability) assume with Wilhelm, *Urkund. dram. Auff.* 133, that Καλλιάδου is a by-form of Καλλίου, it is still a question how he made his accusation—in a play or in a lawsuit (Kock i. 699); if the Callias of the Old Comedy is meant here, he must have had a very long career, since he appears first in 446 B.C. See vol. iv. p. 557, note *e* and P.-W. x. 1612, 1627, where, however, the statements are contradictory.

[f] *F.H.G.* iv. 358.

[g] Athen. 101 e, 128 b, 253 a (vol. i. p. 436, vol. ii. p. 90, vol. iii. p. 138).

[h] Preller 45-46; see Elderkin, *Am. J. Arch.* xxxviii. 1. 31.

[i] Below, 593 a, p. 197.

Μάχων δ' ὁ κωμῳδιοποιὸς ἐν ταῖς ἐπιγραφομέναις Χρείαις φησὶν οὕτως·

ὑπερβολῇ δὲ τῆς Λεαίνης σχῆμά τι[1]
περαινομένης εὖ παρά τε τῷ Δημητρίῳ
εὐημερούσης, φασὶ[2] καὶ τὴν Λάμιαν
τὸν βασιλέ' εὐμελῶς κελητίσαι ποτὲ[3]
ἐπαινεθῆναί θ'.[4] ἡ δὲ τοῦτ' ἀπεκρίθη[5]
"πρὸς ταῦτα καὶ Λέαιναν, εἰ βούλει, κράτει."

ἦν δὲ ἡ Λάμια σφόδρα εὔθικτος καὶ ἀστικὴ[6] πρὸς τὰς ἀποκρίσεις, καθάπερ καὶ Γνάθαινα, περὶ ἧς
e ἐροῦμεν. πάλιν δὲ περὶ τῆς Λαμίας ὁ Μάχων οὕτω γράφει·

Δημήτριός ποθ' ὁ βασιλεὺς γένη μύρων
Λαμίᾳ παρὰ πότον παντοδαπῶν ἐπεδείκνυτο.
ἡ Λάμια δ' ἦν αὐλητρίς, ἧς[7] σφόδρ' ἡδέως
σχεῖν[8] φασι κνησθῆναί τε τὸν Δημήτριον.
ἀποδοκιμαζούσης δὲ[9] πάντα καὶ πάνυ
κατεγχλιδώσης τῷ βασιλεῖ, νάρδον τινὰ
f διένευσ' ἐνεγκεῖν εὐχερῆ,[10] τῇ χειρί τε
ταὶδοῖον ἀποτρίψας, θιγὼν[11] τοῖς δακτύλοις
"τουτί γε, Λάμια, φησίν, ὀσφράνθητι καὶ
εἴσει[12] παρὰ τἄλλα διαφορὰν ὅσην ἔχει."
κείνη[13] δὲ γελάσασ' "ἀλλὰ τοῦτ', ἔφη, τάλαν,
ὄζειν[14] δοκεῖ μοι σαπρότατον πάντων πολύ."

[1] Jacobs: *σχήματι* A. [2] Schweighäuser: *φησι* A.
[3] *ποτὲ* CE (*ἐπεί ποτε ἡδέως ταύτῃ ὁμιλήσοι ὁ Δημήτριος κελητίσας εἶπε*), om. A.
[4] Meineke: *ὑπερεπαινεθῆναί τε* A.
[5] *τοῦτ' ἀπεκρίνατο* (?) Kaibel.
[6] Schweighäuser: *ἀττικὴ* ACE.
[7] Lennep: *ἡ* A. [8] Schweighäuser: *ἔχειν* A.
[9] CE: *τε* A. [10] A: *εὐτελῆ* Dobree.
[11] *θιγὼν* Jacobs: *καὶ θιγὼν* ACE, Cobet, reading *ταὶδοῖ'*.

Now Machon the comic poet, in the collection entitled *Bright Sayings*,[a] has the following: "With exquisite art Leaena, in lioness attitude,[b] offered herself readily, and found much favour with Demetrius; they say that Lamia also once bestrode the king with graceful art, and received praise therefor. And she made answer thus[c]: 'In view of that, take on Leaena too if you like!'" For Lamia was very quick and witty in repartee, like Gnathaena,[d] of whom we shall speak. But of Lamia, again, Machon writes thus: "Once upon a time at a drinking-party, King Demetrius was showing all kinds of perfumes to Lamia. Now Lamia was a flute-girl whom, they say, Demetrius was very sweet on and for whom he itched greatly. But she rejected all the perfumes and looked with very haughty disdain upon the king; so with a nod he ordered some spikenard to be brought and kept ready, while with his hand penem fricans tangensque digitis, 'Hoc quidem, inquit, olfacito, Lamia, et senties quantum praestet aliis omnibus unguentis.' And she, with a laugh, replied, 'You wretch, I think this smells by far the most putrid

[a] The Χρεῖαι was not a comedy, hence it is not included in Kock's *Fragmenta*. See Athen. 348 d (vol. iv. p. 78); a similar work was ascribed to Aristippus, Diog. Laert. ii. 85, *cf.* Plut. 218 A.

[b] Leaena means "lioness." Schol. Aristoph. *Lys.* 231 σχῆμα δέ ἐστιν ἀκόλαστον καὶ ἑταιρικόν.

[c] A parody of Eur. *Med.* 1358 (Medea speaking to Jason) πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει. For Lamia here Meineke reads Mania, below, 578 b.

[d] Athen. 384 e (vol. iv. p. 238), and 558 b (p. 16), 567 f (p. 67).

---

[12] A; εἴσῃ CE. [13] Musurus: ἐκείνῃ ACE.
[14] Lennep: νομίζειν A.

Δημήτριος δ' εἶπ'[1]· "ἀλλὰ μήν, νὴ τοὺς θεούς, ἀπὸ βαλάνου τοῦτ' ἐστί, Λάμια, βασιλικῆς."

Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου ἐν ταῖς περὶ
578 τὸν Φιλοπάτορα Ἱστορίαις βασιλέων ἐρωμένας ἀνα-
γράφων φησίν· "Φιλίππου τοῦ Μακεδόνας[2] αὐξή-
σαντος Φίλιννα τὴν ὀρχηστρίδα, ἐξ ἧς καὶ γεννῆσαι
Ἀρριδαῖον τὸν μετ' Ἀλέξανδρον βασιλεύσαντα,
Δημητρίου δὲ τοῦ Πολιορκητοῦ μετὰ τὰς προ-
ειρημένας Μανίαν, Ἀντιγόνου δὲ Δημώ, ἐξ ἧς
Ἀλκυονέα γεννηθῆναι, Σελεύκου δὲ τοῦ νεωτέρου
Μύσταν καὶ Νῦσαν." Ἡρακλείδης δὲ ὁ Λέμβος
ἐν τῇ ἕκτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν Δημώ
b φησιν ἐρωμένην γενέσθαι τοῦ Δημητρίου· ἣ ἐπι-
μανῆναι καὶ τὸν πατέρα αὐτοῦ Ἀντίγονον καὶ
ἀποκτεῖναι Ὀξύθεμιν ὡς καὶ πολλὰ συνεξαμαρ-
τάνοντα τῷ Δημητρίῳ, καὶ ὅτι ἀπέκτεινε τὰς τῆς
Δημοῦς θεραπαίνας στρεβλῶν.

Περὶ δὲ τοῦ εἰρημένου τῆς Μανίας ὀνόματος ὁ Μάχων τάδε φησίν·

ἴσως δ' ἂν ἀπορήσαι τις εὐλόγως θ' ἅμα
τῶν νῦν ἀκροατῶν εἴ τις Ἀττικὴ γυνὴ
προσηγορεύετ' ἢ ἐνομίσθη Μανία.
αἰσχρὸν γὰρ ὄνομα Φρυγιακὸν γυναῖκ' ἔχειν,
c καὶ ταῦθ' ἑταίραν ἐκ μέσης τῆς Ἑλλάδος,

[1] εἶπεν ACE.
[2] Madvig: μακεδόνος A, μακεδὼν (in different constr.) C.

---

[a] Ptolemy iv. above, 576 f (p. 113).
[b] *F.H.G.* iii. 67, J. 2 B 888.
[c] Above, 557 c (p. 15).
[d] The One-Eyed, father of Demetrius.
[e] Below, 593 e (p. 200). On Seleucus Callinicus see Bevan, *op. cit.* i. 181-203.

of all.' But Demetrius answered: 'Yes, but as the gods are my witnesses, Lamia, I would have you know that this is made from a royal gland.'"

Ptolemy, the son of Agesarchus, in his *Histories of Philopator*,[a] when giving a list of kings' mistresses says[b]: "The mistress of Philip, who raised Macedonia to power, was the dancing-girl Philinna, by whom he became the father of Arrhidaeus,[c] who succeeded to the throne after Alexander; of Demetrius Poliorcetes, after the women mentioned above, there was Mania; of Antigonus,[d] Demô, who bore him Alcyoneus; and of Seleucus the Younger, there were Mysta[e] and Nysa." But Heracleides Lembus in the thirty-sixth book of his *Histories* says[f] that Demô was the mistress of Demetrius; with her, he says, Demetrius's father Antigonus fell madly in love, and he put to death Oxythemis for sharing in the many crimes of Demetrius[g] and because Oxythemis had put to death on the rack the female attendants of Demô.

Now regarding the name Mania[h] just mentioned, Machon has the following: "But perhaps one of my present hearers may ask, and with good reason, too, may doubt whether a woman of Attic birth was ever named or regularly called Mania. For it is scandalous, you say, that a woman should bear a Phrygian name, especially when she comes from the very centre of Greece, even though she be a prostitute; scandalous

[f] *F.H.G.* iii. 168. [g] *Cf.* Athen. 614 f (p. 310).

[h] It means "Madness," "Frenzy" (Mănia, with short *a*), used of the Bacchic revel, *cf.* Maenad. But a Greek would also think of it as a foreign word, feminine of Mănes (Mānia, with long *a*), a common name for a slave, but not for a woman citizen. Athen. 487 c and note *b* (vol. v. p. 169), 473 d (vol. v. p. 90), Aristoph. *Ran.* 1345.

μὴ τὴν Ἀθηναίων τι κωλῦσαι[1] πόλιν,
ὑφ' ἧς ἅπαντές εἰσ'[2] ἐπηνωρθωμένοι.[3]
τὸ μὲν οὖν ὑπάρχον εὐθέως ἐκ παιδίου
αὐτῇ Μέλιττ' ἦν ὄνομα. τῷ μεγέθει μὲν ἦν[4]
τῶν τότε γυναικῶν βραχύ τι καταδεεστέρα·
φωνῇ δ' ὁμιλίᾳ τε κεχορηγημένη,
πάνυ τ'[5] εὐπρόσωπος οὖσα καὶ καταπληκτική,
πολλοὺς ἐραστὰς καὶ πολίτας καὶ ξένους
d ἔχουσ'—ὅπου περὶ τῆς[6] γυναικός τις λόγος
γένοιτο, μανίαν τὴν Μέλιτταν ὡς καλὴν
ἔφασκον εἶναι, καὶ προσεξειργάζετο
αὐτὴ[7] τὸ πλεῖον. ἡνίκα τις[8] σκώψειε γάρ,
ῥημάτιον εὐθὺ τοῦτο "μανίαν" ἀνεβόα,
αὐτή θ' ὅτ' ἐπαινοίη τιν' ἢ ψέγοι πάλιν,
ἐπ' ἀμφοτέρων προσέκειτο μανία τῶν λόγων.
διὸ τῆς μανίας τὸ ῥῆμ'[9] ἐπεκτείνας δοκεῖ
καλέσαι τις αὐτὴν τῶν ἐραστῶν Μανίαν·
e μᾶλλον τὸ πάρεργον ἐπεκράτησ'[10] ἢ τοὔνομα.

Ἐδόκει δὲ λιθιᾶν, ὡς ἔοιχ', ἡ Μανία·
Γνάθαινα δ'[11] εἰς τὰ στρώμαθ' ὅτι προίετο,[12]
ἐνουθετήθη[13] τοῦτό πως ὑπὸ Διφίλου.
μετὰ ταῦτα δ' ἡ Γνάθαινα πρὸς τὴν Μανίαν
ἐλοιδορεῖτο καὶ λέγει "τί τοῦτο, παῖ,

[1] μὴ . . . κωλῦσαι Kaibel, conjecturing γε for τι: η τὴν Ἀθηναίων τι κωλύσαι A, ἢ τ. Ἀ. μὴ κωλύσαι CE.
[2] εἰσιν, εἰσὶν ACE.
[3] CE: ἐπηνορθωμένοι A.
[4] τῷ . . . ἦν Dindorf: τῷ μὲν μεγέθει (om. ἦν) A, τῷ μεγέθει alone CE.
[5] Kaibel: δ' A.
[6] τῆς added by Schweighäuser.
[7] Schweighäuser: αὐτη A.
[8] ἡνίκα τις Gulick: ἡνίκ' ἂν A.
[9] τὸ ῥῆμ' Meineke: ἐπιρρημ' A.
[10] ἐπεκράτησεν A.

that the city of Athens, by whose authority all men are kept in order, should not prevent it somehow.[a] Now the name that had been given to her from babyhood was Melitta.[b] In height, to be sure, she fell somewhat short of the other women of her age; but with voice and conversation she was well supplied; very good-looking too, and stunning, with many lovers, both citizens and foreigners. Wherever any talk arose over this woman people would say, 'It's *madness*,[c] how beautiful Melitta is!' And then she would herself proceed to put the word to further use. For whenever one made a joke she would straightway cry out that little word 'madness!' And when she herself praised anyone, or again blamed him, to both of her sentences she added 'madness.' Hence, it seems, one of her lovers lengthened the word mănia (madness) and called her Mānia; and so this by-word came to prevail more than her own name.

"Now it seems, as is reported, that Mania suffered from the stone; but Gnathaena, because she soiled the bedclothes, was chastised somehow for this by Diphilus.[d] And once after this Gnathaena was reviling Mania and said 'How about this, sister, even

[a] The text is uncertain; the speaker is indulging in comic exaggeration: there ought to be a law, he thinks, against such use of names.

[b] An hetaera with the same name (Melissa) is mentioned by Athen. 157 a (vol. ii. p. 214).

[c] Here mănia means "maddening," "monstrous."

[d] The comic poet; see Athen. 243 e (vol. iii. p. 96).

---

[11] Kaibel: τε AE, τ' C.
[12] Kaibel: προίεται ACE.
[13] Lobeck: ἐνομοθετήθη A.

εἰ καὶ[1] λίθον εἶχες;"[2] ὑπολαβοῦσ' ἡ Μανία
"ἔδωκ' ἄν, ἵν' εἶχες, φήσ',[3] ἀποψᾶσθαι, τάλαν."
Ὅτι δ' ἦν καὶ ἀστεία τις ἀποκρίνασθαι, τάδε
f περὶ αὐτῆς ὁ Μάχων ἀναγράφει·

τῆς Μανίας ἤρα Λεοντίσκος ποτὲ
ὁ παγκρατιαστὴς καὶ συνεῖχ' αὐτὴν μόνος
γαμετῆς τρόπον γυναικός. ὑπὸ δ' Ἀντήνορος
μοιχευομένην αἰσθόμενος[4] αὐτὴν ὕστερον
σφόδρ' ἠγανάκτησ'. ἡ δὲ "μηθέν, φησί, σοί,
ψυχή,[5] μελέτω· μαθεῖν γὰρ αἰσθέσθαι θ' ἅμα
Ὀλυμπιονικῶν νυκτὸς ἀθλητῶν δυεῖν
579 πληγὴν παρὰ πληγὴν[6] τί δύναταί ποτ' ἤθελον."
αἰτουμένην λέγουσι τὴν πυγήν ποτε
ὑπὸ τοῦ βασιλέως Μανίαν Δημητρίου
ἀνταξιῶσαι δωρεὰν καὐτόν τινα.
δόντος δ' ἐπιστρέψασα μετὰ μικρὸν λέγει
"Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν"[7] ἔξεστί σοι."
εἶναι δοκῶν αὐτόμολος ἄνθρωπος ξένος
καὶ παρεπιδημήσας Ἀθήνησίν ποτε
τὴν Μανίαν μετεπέμψαθ', ὅσον ἤτησε δούς.
εἰς τὸν πότον δ'[8] ἦν συμπαρειληφώς τινας
b ἐκ τῆς πόλεως τῶν ἐπιγελᾶν εἰθισμένων
ἅπαντα τοῖς τρέφουσιν αἰεὶ πρὸς χάριν·
βουλόμενος εἶναι γλαφυρὸς ἀστεῖός θ' ἅμα,

[1] CE: εἰ δὲ A.
[2] Kaibel: ἔχησα A, ἔχης C.
[3] C: φησί' A.
[4] CE: αἰσθανόμενοσ A.
[5] Musurus: ψυχῆι A.
[6] παρὰ πληγὴν added by Dobree.
[7] ἐκεῖνα A.
[8] πότον added by Grotius, δ' Kaibel: εἰσ τονδε A.

[a] *Cf.* below, 584 c, and Aristoph. *Plut.* 817 ἀποφώμεθα δ' οὐ λίθοις ἔτι, ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.

[b] The pancratium was a combination of boxing and wrestling. On Leontiscus see Pausan. vi. 4. 3.

if you did have a stone?' Mania retorted, 'I should have given it to you, you wretch, that you might have had something with which to cleanse yourself.'"[a]

To show that Mania was witty in her answers Machon records the following about her: "The pancratiast[b] Leontiscus was once the lover of Mania, and kept her for himself alone like a wedded wife. He later discovered that she was being seduced by Antenor,[c] and was very angry. But she said: 'Let that not bother you at all, sweetheart; for I just wanted to make sure and find out for myself what two athletes, victors at Olympia, could do, stroke for stroke, in a single night.'

"They say that Mania, cum clunes eius aliquando poposcisset rex Demetrius, demanded in return a favour from him. And when the king had conferred it she, after a little, turned about and said,[d] 'Son of Agamemnon, now you may have that which you desired.'

"A foreigner who was supposed to be a slacker and had come to live in Athens once sent for Mania, paying her all that she asked. And to his drinking-party he had invited some others from the town, men accustomed to laugh always with approval in gratitude to their patrons for all they gave. The host was eager to show himself both subtle and witty, while Mania

[a] Another pancratiast, winner at Olympia in 308 B.C. See Athen. 135 d (vol. ii. p. 120).

[d] Soph. *Electra* 2, the Paedagogus says to Orestes

νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν ὧν πρόθυμος ἦσθ' ἀεί,

"now you may see, since you are here, those things for which you were always so eager."

τῆς Μανίας ἄριστα παιζούσης σφόδρα
ἀνισταμένης τε πολλάκις, εἰς δασύποδα[1]
αὐτὴν ἐπικροῦσαι βουλόμενος " πρὸς τῶν θεῶν,
μειράκια, τί δοκεῖ τῶν ἀγρίων ὑμῖν ποτε
c ἐν τοῖς ὄρεσι τάχιστα θηρίον[2] τρέχειν;"
ἡ Μανία δ' " αὐτόμολος, ὦ βέλτιστ', " ἔφη.
μετὰ ταῦτα δ' ὡς εἰσῆλθε πάλιν ἡ Μανία,
τὸν αὐτόμολον ἔσκωπτε ῥίψασπίν τ' ἔφη
αὐτὸν γεγονέναι προσβολῆς οὔσης ποτέ.
ὁ δὲ στρατιώτης ὑπό τι δὴ[3] σκυθρωπάσας
ἀπεπέμψατ' αὐτήν· διαλιποῦσα δ' ἡμέραν[4]
" μηθὲν παρὰ τοῦτο, φησί, λυποῦ, φίλτατε·
οὐ γὰρ σὺ φεύγων ἀπέβαλες τὴν ἀσπίδα,
d μὰ τὴν Ἀφροδίτην, ἀλλ' ὁ σοὶ χρήσας τότε."
ἐν συμποσίῳ δ', ὥς φασι, παρὰ τῇ Μανίᾳ
παρεδέξατ' αὐτὴν τῶν πονηρῶν τις πάνυ.
κἄθ' ὡς[5] ἐπηρώτησε " πότερ' ἄνω θέλεις
ἐλθοῦσ' ἅμα βαλεῖν ἢ κάτω;" γελάσασ' " ἄνω,
βέλτιστε, φησίν. ὑπό τι γὰρ δέδοικά σε
μή μου προπεσούσης[6] τοὐμπλόκιον ὑπεκτράγῃς."

Καὶ ἄλλων δὲ ἑταιρῶν ἀπομνημονεύματα ὁ
e Μάχων συνήγαγεν, ὧν οὐκ ἄκαιρόν ἐστιν κατὰ τὸ
ἑξῆς μνημονεῦσαι. Γναθαίνης μὲν οὕτως·

[7]παρὰ Γναθαίνῃ Δίφιλος πίνων ποτὲ
" ψυχρόν γ', ἔφη, τἀγγεῖον, ὦ Γνάθαιν', ἔχεις."

[1] The faulty verse has not yet been satisfactorily emended. C has: ἀνισταμένην πολλάκις καὶ παίζουσαν ὡς δασύποδα.
[2] θηρίων CE.
[3] δὴ added by Casaubon.
[4] Kaibel: ἀπέπεμψε ταύτην· διαλιποῦσα δ' ἡ ἑταίρα AC.
[5] Hemsterhuys: καθὼς A.

played her very best tricks, but frequently had to retire; and he, intending to jeer at her as at some scurrying hare said, 'In the name of the gods, my lads, what wild animal in the forest do you think can run the fastest?' But Mania replied, 'The slacker, my fine fellow.' When Mania, after this, had entered the room once more, she began to jeer at the slacker and said he had been a shield-caster [a] on the occasion of some attack. The soldier, scowling not a little at this, sent her home; but after a day's interval she said, 'Don't be disturbed, dearie, at what I have said; for, as Aphroditê is my witness, it wasn't *you* who lost the shield when you fled, but it was the man who lent it to you that day.'

"And at a symposium, so they say, in Mania's house, one of the guests, a very vicious man, took his turn to embrace her. And when he asked, 'Do you wish to come together from before or from behind?' she said with a laugh, 'From before, good sir. For I am rather afraid that otherwise you will bite off my braids.'"

Machon has collected memorable sayings of other prostitutes as well, which it will not be out of place to record in order here. Of Gnathaena he has the following: "Diphilus, drinking once at Gnathaena's house, remarked, 'That vessel you have is cold,

[a] Both Archilochus and Horace humorously confess to throwing away their shields, but for ordinary men it was no slight disgrace; Aristoph. *Nub.* 353 Κλεώνυμον τὸν ῥίψασπιν. For a German translation of this passage see K. Ohlert, *Rätsel u. Rätselspiele*[2] 66.

[6] Musurus: *προσπεσούσης* A.

[7] These four vss. deleted by Dindorf; they are an abbreviated version of the following.

"τῶν σῶν γάρ, εἶπεν, ἐπιμελῶς, ὦ Δίφιλε,
εἰς αὐτό γ' αἰεὶ δραμάτων ἐμβάλλομεν."
πρὸς τὴν Γνάθαιναν Δίφιλος κληθείς ποτε
ἐπὶ δεῖπνον, ὡς λέγουσι, τοῖς Ἀφροδισίοις,
τιμώμενος μάλιστα τῶν ἐρωμένων
(ἥσθε δ'[1] ὑπ' αὐτῆς ἐκτενῶς ἀγαπώμενος)
παρῆν ἔχων δύο Χῖα, Θάσια τέτταρα,
μύρον, στεφάνους, τραγήματ', ἔριφον, ταινίας,
ὄψον, μάγειρον, τὰ μετὰ ταῦτ' αὐλητρίδα.
f καὶ τῶν ἐραστῶν Συριακοῦ τινος ξένου
πέμψαντος αὐτῇ χιόνα σαπέρδην θ' ἕνα,[2]
αἰσχυνομένη τὰ δῶρα μή τις καταμάθῃ
φυλαττομένη τε πολὺ μάλιστα Δίφιλον
μὴ δῷ δίκην μετὰ ταῦτα κωμῳδουμένη,
τὸ μὲν τάριχος εἶπε ταχέως[3] ἀποφέρειν
πρὸς τοὺς σπανίζειν ὁμολογουμένους[4] ἁλῶν,
τὴν χιόνα δ' εἰς τὸν ἄκρατον ἐνσεῖσαι λάθρᾳ
580 τῷ παιδί τ' ἐπέταξ'[5] ἐγχέανθ' ὅσον δέκα
κυάθους προσενεγκεῖν Διφίλῳ ποτήριον.
ὑπερηδέως δὲ τὴν κύλικ'[6] ἐκπιὼν ἄφνω
καὶ τὸ παράδοξον καταπλαγεὶς ὁ Δίφιλος
"νὴ τὴν Ἀθηνᾶν καὶ θεούς, ψυχρόν γ', ἔφη,
Γνάθαιν', ἔχεις τὸν λάκκον ὁμολογουμένως."

[1] ἥσθη δ' Peppink (ἥδει δ' Kaibel): λήθη A.
[2] θ' ἅμα Meineke.
[3] CE: ταχέωστ' A.
[4] ὁμολογουμένωσ A, ὡμολογημένους CE.
[5] ἐπέταξεν A.
[6] κύλικα A.

Gnathaena.' 'Yes,' she said, 'we make it so on purpose; for we always pour in some of your plays, Diphilus.'

"Once upon a time Diphilus was invited to Gnathaena's house, to dine, so they say, in celebration of the festival of Aphroditê; he, being the most esteemed of all her lovers (and he delighted in her passionate love for him), came with two jars of Chian, four of Thasian, perfume, wreaths, nuts and raisins, a kid, ribbons,[a] relishes, a cook, and after all that a flute-girl. And one of her lovers, a stranger from Syria, had sent her some snow[b] and one saperda[c]; she, being ashamed if any one should learn of such gifts, and most of all fearing that Diphilus might punish her by putting her in one of his comedies afterwards, ordered the dried fish to be quickly carried away to those who were indubitably in want of a dole,[d] while the snow was to be secretly shaken up in the unmixed wine; then she directed the slave to pour out about a pint[e] and offer the cup to Diphilus. Overjoyed, Diphilus quickly drank out the cup, and overcome by the surprising effect he cried, 'I swear, Athena and the gods bear me witness, Gnathaena, that your wine-cellar is

[a] Or perhaps, "ribbon-fishes," esteemed as a dainty, Athen. 325 f (vol. iii. p. 464). This was a dinner contributed (ἀπὸ συμβολῶν) by all the guests; see Athen. 365 d (vol. iv. p. 154).

[b] For snow used in cooling wine see Athen. 125 c-d (vol. ii. p. 80), where, as I now believe, the reading should be ἐθάφθη ζωή "was buried alive," *i.e.* stored in a pit until needed.

[c] On this very unsavoury fish, a kind of sea-perch preserved by salting, see Athen. 117 a (vol. ii. p. 46).

[d] Lit. "some salt."

[e] Lit. "about 10 cupfuls," the cup (κύαθος) being of the small variety with high handle (vol. v. pl. 7).

ἡ δ' εἶπε "τῶν σῶν δραμάτων γὰρ ἐπιμελῶς
εἰς αὐτὸν αἰεὶ τοὺς προλόγους ἐμβάλλομεν."
μαστιγίας μώλωπας ὑψηλοὺς ἔχων
μετὰ τῆς Γναθαίνης ἀπὸ τύχης ἀνεπαύετο.
b περιλαμβάνουσα δ' αὐτόν, ὡς ἀνώμαλον
τὸ νῶτον εἶχε παντελῶς, "τάλαν, τάλαν
καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον
αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάττονας
σίτου παραπέμψαι[1] καὶ πολίτην γεγονέναι.
B. Γλυκέρας ὁ σῖτος οὗτος ἦν· ἔσται δ' ἴσως
αὐτοῖσιν[2] ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών.

e Λυσίας δ' ἐν τῷ πρὸς Λαΐδα, εἴ γε[3] γνήσιος ὁ λόγος, τούτων μνημονεύει· "Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη ἔτι νέα οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια." μήποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀνθείας Ἄντειαν.[4] οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἄνθειαν ἀναγεγραμμένην ἑταίραν, ἀπὸ δὲ Ἀντείας[5] καὶ ὅλον δρᾶμα ἐπιγραφόμενον, ὡς προεῖπον, Εὐνίκου ἢ Φιλυλλίου Ἄντειά[6] ἐστιν. καὶ ὁ τὸν κατὰ Νεαίρας δὲ λόγον γράψας μνημονεύει αὐτῆς. ἐν δὲ τῷ κατὰ Φιλωνίδου βιαίων ὁ Λυσίας, εἰ
f γνήσιος ὁ λόγος, καὶ Ναΐδος τῆς ἑταίρας μέμνηται, κἂν τῷ πρὸς Μέδοντα ψευδομαρτυριῶν Ἀντικύρας.[7] ἐπώνυμον δ' ἐστὶ τοῦτο ἑταίρας· τὸ γὰρ κύριον ἦν Οἴα,[8] ὡς Ἀριστοφάνης[9] εἴρηκεν ἐν τῷ περὶ Ἑται-

[1] διαπέμψαι Athen. 596 b.
[2] 596 b: αὐτοῖσ A.
[3] γε deleted by Kaibel.
[4] Harpocr. s. Ἄνθεια: ἄντιαν A.
[5] ἀντίας A.
[6] ἀντια (sic) A.
[7] Ἀντικύρας added by Schweighäuser, cf. Harpocr. s. Ἀντίκυρα.
[8] οἷα A.
[9] A, Harpocr. codd.: Ἀντιφάνης Musurus.

[4] Scr. Alex. Mag. 83, J. 2 B 750.

tarchus in his *Histories of Alexander.*[a] The author of *Agên*, the little satyric drama, whether it be Python of Catana or King Alexander himself, says[b]: "A. And yet I hear that Harpalus has sent over to them[c] thousands of bushels of grain, as many as Agên sent, and so was made a citizen. B. This grain was Glycera's, but it will doubtless turn out to be their death-warrant, and not merely a whore's earnest money."

Lysias in the *Speech against Laïs*, if it is really genuine, mentions these courtesans[d]: "Philyra, at least, ceased whoring when still a young woman, and so did Scionê, Hippaphesis, Theocleia, Psamathê, Lagisca, and Antheia." Perhaps for Antheia we should write Anteia. For we cannot find in any author the name Antheia recorded as that of a courtesan, whereas from Anteia an entire play takes its title, as I have said above,[e] the *Anteia* of Eunicus or Philyllius. And the writer of the *Speech against Neaera* also mentions her.[f] In the *Speech against Philonides*, an action for forcible seizure, Lysias, if it be genuine, mentions[g] also the courtesan Naïs, and in that *Against Medon*, an action for perjury, Anticyra. Now this was an epithet given to the courtesan; for her real name was Oia, as Aristophanes[h] says in his work *On Courtesans*,

[b] *T.G.F.*[2] 810; below, 596 a-b, and 50 f (vol. i. p. 222). Of Agên nothing is known; Olivieri, cited below, 595 e (p. 210), thinks he may have been an importer of grain at Athens.

[c] The Athenians.

[d] Thalheim 365; below, 592 e (p. 195).

[e] 567 c (p. 65).

[f] Ps.-Demosth. *Or.* lix. 19, above, 570 e (p. 83), 573 b (p. 95).

[g] Thalheim 375.

[h] Of Byzantium. See crit. note 9 and above, 567 a (p. 63), Harpocr. *s.* Ἀντίκυρα.

ρῶν, Ἀντικύραν[1] αὐτὴν φάσκων κληθῆναι ἤτοι ὅτι συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν ἢ ὅτι αὐτὴν ἀναλαβὼν ὁ ἰατρὸς Νικόστρατος ἀποθνήσκων[2] κατέλιπεν αὐτῇ πολὺν ἐλλέβορον, ἄλλο δὲ οὐδέν. καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους[3] Εἰρηνίδος ἑταίρας μέμνηται ὡς ἑταιρούσης τῷ Λεωκράτει.
587 Ναννίου δὲ Ὑπερείδης[4] μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. αὕτη δὲ ὅτι Αἴξ ἐπεκαλεῖτο προείπομεν, διὰ τὸ Θαλλὸν τὸν κάπηλον ἐξαναλῶσαι. ὅτι δὲ θαλλῷ χαίρουσιν αἱ αἶγες, διόπερ οὐδ' εἰς ἀκρόπολιν ἄνεισι τὸ ζῷον οὐδ' ὅλως Ἀθηνᾷ θύεται διὰ τοῦτο, ἄλλος ἔσται[5] λόγος. ἀλλ' ὅ γε Σοφοκλῆς ἐν Ποιμέσιν ὅτι θαλλοφαγεῖ τὸ ζῷόν φησιν οὕτως·

ἑωθινὸς γάρ, πρίν τιν' αὐλιτῶν[6] ὁρᾶν,
θαλλὸν χιμαίρᾳ προσφέρων νεοσπάδα[7]
b εἶδον[8] στρατὸν στείχοντα παραλίαν ἄκραν.[9]

μνημονεύει τῆς[10] Ναννίου καὶ Ἄλεξις ἐν Ταραντίνοις οὕτως·

Νάννιον δὲ μαίνεται
ἐπὶ τῷ Διονύσῳ,

κωμῳδῶν αὐτὴν ὡς μέθυσον.[11] Μένανδρος δ' ἐν Ψευδηρακλεῖ φησιν·

οὐκ ἐπείρα Νάννιον;

Ἀντιφάνης δὲ ἐν τῷ περὶ Ἑταιρῶν "Προσκήνιον,

[1] ἀντικυραν A.
[2] CE: καὶ ἀποθνήσκων A.
[3] λεοκράτουσ A.
[4] ὑπερίδησ ACE.
[5] ἐστὶ (?) Kaibel.
[6] Bekker: αὐλητῶν A, Harpocr. s. Νάννιον.
[7] Casaubon: νέοσ παῖδα A, νεόπαιδα Harpocr.
[8] Musurus: ἴδον A.
[9] πέτραν Harpocr.
[10] Musurus: μνημονευτὴσ A.

alleging that she was called Anticyra [a] either because she joined the drinking-bouts of men who were insane with passion, or because the physician Nicostratus took her up and at his death bequeathed to her a large quantity of hellebore, but nothing else. Lycurgus, further, in his *Speech against Leocrates*, mentions [b] a courtesan named Eirenis as one who was kept by Leocrates. As for Nannion, Hypereides mentions [c] her in the *Speech against Patrocles*. That she was nicknamed Goat because she had wasted the substance of Sprout the huckster we have stated above.[d] Now that she-goats enjoy a green branch, for which reason the creature is not allowed to range on the Acropolis and consequently is never sacrificed to Athena at all, will be a matter for another discussion. Sophocles, at least, says in *The Shepherds* that the creature is a branch-eater in these words [e]: "Early in the morning, indeed, before I could see any of the farmer-folk about, I was offering a fresh-cut branch to a she-goat when I saw an army marching along the height by the sea." Nannion is mentioned also by Alexis in *The Tarentines* thus [f]: "And Nannion is mad over Dionysus," thus satirizing her as a drunken tippler. Also Menander in *Sham-Heracles* says [g]: "Did he not try to rape Nannion?" Antiphanes in his work *On Courtesans* says: "Nannion

[a] Anticyra or anticyricon also meant hellebore, said to come from three towns so named; tribus Anticyris caput insanabile, Hor. *A.P.* 300.

[b] Chap. 17.

[c] Blass[3] 119, Kenyon 141.

[d] 582 e (p. 143), J. 2 B 1105, of Nicô, not Nannion. But see Harpocr. *s.* Νάννιον.

[e] *T.G.F.*[2] 242.

[f] Kock ii. 379.

[g] Kock iii. 150.

[11] Musurus: μεθυσσαν A.

φησίν, ἐπεκαλεῖτο ἡ Νάννιον, ὅτι πρόσωπόν τε ἀστεῖον εἶχε καὶ ἐχρῆτο χρυσίοις[1] καὶ ἱματίοις πολυτελέσι, ἐκδῦσα δὲ ἦν αἰσχροτάτη. ἦν δὲ Κορώνη[2] τῆς Ναννίου[3] θυγάτηρ, τὸ τῆς Τήθης
c ἀναφέρουσα ἐκ τριπορνείας ὄνομα." καὶ Νεμεάδος δὲ τῆς αὐλητρίδος[4] Ὑπερείδης[5] μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. περὶ ἧς ἄξιον θαυμάζειν πῶς περιεῖδον Ἀθηναῖοι οὕτως προσαγορευομένην τὴν πόρνην, πανηγύρεως ἐνδοξοτάτης ὀνόματι κεχρημένην· ἐκεκώλυτο[6] γὰρ τὰ τοιαῦτα τίθεσθαι ὀνόματα οὐ μόνον ταῖς ἑταιρούσαις, ἀλλὰ καὶ ταῖς ἄλλαις δούλαις,[7] ὥς φησι Πολέμων ἐν τοῖς περὶ Ἀκροπόλεως. καὶ Ὠκίμου δὲ τῆς ἐμῆς, ὡς σὺ φής, Κύνουλκε, καὶ Ὑπερείδης[8] μέμνηται ἐν τῷ κατὰ
d Ἀρισταγόρας β' λέγων οὕτως· "ὥστε Λαῖς μὲν ἡ δοκοῦσα πασῶν[9] τῶν πώποτε διενηνοχέναι τὴν ὄψιν καὶ Ὠκιμον καὶ Μετάνειρα[10] . . ." Νικόστρατος δὲ ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Πανδρόσῳ οὑτωσὶ λέγων·

[1] Meineke: χρυσεοισ A, χρυσοῖς CE.
[2] Schweighäuser: κορώνησ A.
[3] Musurus: ἀννίου A.
[4] CE Harpocr. s. Νεμέας: αὐλητρίασ A.
[5] ὑπερίδησ ACE.
[6] κεκώλυτο ACE.
[7] τὰς ἄλλας δούλας C.
[8] ὑπερίδησ A.
[9] πασῶν added by Kaibel.
[10] Schweighäuser: μετάνειραν A.

---

[a] *Cf.* Harpocr. *s.* Νάννιον, who says that her name, Proscenium, arose διὰ τὸ ἔξωθεν εὐμορφοτέραν εἶναι, "because she was prettier on the outside."

[b] The same name for a hetaera above, 583 a, e.

was nicknamed Proscenium because, although she had a pretty face and wore gold jewelry and expensive clothes, when she stripped she was very ugly.[a] Now there was a daughter of Nannion named Coronê (Crow)[b] who acquired the name Grandmother because she was a whore throughout three generations."[c] Again, Nemeas the flute-girl is mentioned by Hypereides in the *Speech against Patrocles*.[d] Concerning her one may rightly wonder how the Athenians permitted the whore to be so called, since the name she had assumed was that of a highly-revered festival; for the adoption of such names as these had been forbidden, not only to women practising prostitution, but also to other women of the slave class, as Polemon declares[e] in his work *On the Acropolis*. And my own Ocimon, as you call her, Cynulcus,[f] is mentioned by Hypereides in the second *Speech against Aristagora*, in these words[g]: "Wherefore Laïs, who was reputed to excel in looks all women who had ever yet lived, and Ocimon, and Metaneira, . . ." Also Nicostratus, the poet of the Middle Comedy, in *Pandrosus*, speaking as follows[h]: "After that,

[a] *Cf.* τρίπορνος below, 595 b. But "triple whoredom," the literal translation of τριπορνεία, may be an intensive expression, or it may refer to the inherited practice of her trade. The MS. reading Κορώνης (for Κορώνη) gives "there was a daughter of Coronê, the daughter of Nannion, who acquired," etc. But this makes the woman a granddaughter, not a grandmother.

[d] Blass[2] fr. 168, Kenyon 13.

[e] Preller 38. The name Isthmias, derived from the Isthmian Games, occurs below, 587 e (p. 169), 593 f (p. 203). For the nymph Nemea see Athen. 534 d (vol. v. p. 414).

[f] Myrtilus, the speaker (571 a, p. 85), refers to 567 c (p. 65). He was a Thessalian (vol. i. p. 48, vol. iii. p. 384).

[g] Blass[2] 119, Kenyon 142. [h] Kock ii. 225.

ἔπειτα[1] τῆς αὐτῆς ὁδοῦ
πρὸς Ἀερόπην ἐλθοῦσα πέμψαι στρώματα
αὐτὴν κέλευε, φησί,[2] καὶ παρ' Ὠκίμου[3]
χαλκώματα.

Μένανδρος δ' ἐν Κόλακι τάσδε καταλέγει ἑταίρας·

e Χρυσίδα, Κορώνην, Ἀντίκυραν, Ἰσχάδα,
καὶ Ναννάριον ἔσχηκας ὡραίαν[4] σφόδρα.

Φιλέταιρος ἐν Κυναγίδι·

οὐχὶ Κερκώπη μὲν ἤδη γέγον'[5] ἔτη τρισχίλια,
ἡ δὲ Διοπείθους ἀηδὴς Τέλεσις[6] ἕτερα μυρία;
Θεολύτην δ' οὐδ'[7] οἶδεν οὐδεὶς ὅτε τὸ πρῶτον
ἐγένετο.
οὐχὶ Λαῖς μὲν τελευτῶσ' ἀπέθανεν βινουμένη,
Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε καὶ Φίλα;
f Κοσσύφας[8] δὲ καὶ Γαλήνας[9] καὶ Κορώνας οὐ
λέγω·
περὶ δὲ Ναΐδος σιωπῶ· γομφίους γὰρ οὐκ ἔχει.

Θεόφιλος Φιλαύλῳ·

τοῦ μή ποτ' αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα
φερόμενον ἢ Μηκωνίδ' ἢ Σισύμβριον
ἢ Βάραθρον ἢ Θάλλουσαν[10] ἢ τούτων τινά,
ὧν ἐμπλέκουσι τοῖς λίνοις[11] σ'[12] αἱ μαστροποί, . . .
ἢ Ναύσιον[13] ἢ Μαλθάκην."[14]

[1] Musurus: ἐπι τὰ A. [2] Dobree: κέλευ' ἔφη A.
[3] Cobet: ὤκιμον A. [4] ἔσχηκα γ' ὡραίας Capps.
[5] Pierson: γεγόνει A, γέγονεν CE. [6] A: τελέσιλλα CE.
[7] οὐδ' added by Meineke, οὐκ Jacobs.
[8] Φίλα; Κοσσύφας Schweighäuser: φιλακοσ· συφασ A.
[9] Musurus: γαλεινασ A. [10] Musurus: θαλλουσα A.
[11] Schweighäuser (following Dalechamps): λίθοισ A.
[12] σ' added by Kaibel.

says he, go by the same street[a] to Aeropê and bid her send spreads for the couches, and from Ocimon get bronze dishes." Menander, again, in *The Flatterer*, gives a list of courtesans as follows[b]: "Chrysis, Coronê, Anticyra, Ischas, and tiny Nannion you have possessed—the last a very great beauty."[c] Philetaerus in *The Huntress*[d]: "Has not Cercopê by this time grown to be three thousand years old, and Diopeithes' foul Telesis another ten thousand? As for Theolytê,[e] nobody even knows the time when she first came to birth. Did not Laïs die at the end from excessive commerce? and have not Isthmias[f] and Neaera and Phila rotted away? As for all the Cossyphês, Galenês, and Coronês, I say nothing; and concerning Naïs I am dumb; she has no molars left." Theophilus in *He liked to play the Flute*[g]: "To prevent him from falling pell-mell into the clutches of Laïs or Meconis or Sisymbrion or Barathron[h] or Thallusa or one of those women, in whose nets the pimps entangle you, . . . or Nausion or Malthacê."[i]

[a] Or, "while you are on that same errand"; a similar scene occurs in Aristoph. *Pac.* 1142-1158.

[b] Kock iii. 84, Allinson 394.

[c] Or, adopting Capps's reading (critical note 4): "I have possessed some very beautiful ladies." This is in keeping with the boastful swashbuckler Bias (Thraso in Ter. *Eunuchus*), Athen. 434 c (vol. iv. p. 466), *cf.* 477 f (vol. v. p. 112). [d] Kock ii. 232. [e] Above, 570 e (p. 83).

[f] Page 167, note *e*. [g] Kock ii. 476.

[h] Name also of the ravine outside Athens into which the bodies of executed criminals were thrown.

[i] See critical notes 13, 14. The last two names are appended *extra metrum*.

---

[13] *ναυσιον* A: Νάννιον Musurus, Ἠλύσιον (?) Kaibel, ἢ Ναννάριον Cobet (placing it after verse 2).

[14] *μαλαθακην* A.

Τοσαῦτ' εἰπὼν μετά τινος τροχιλίας ὁ Μυρτίλος
588 " μή τι τοιοῦτοι[1] ὑμεῖς οἱ φιλόσοφοι, ἔφη, οἱ καὶ
πρὸ τῶν Ἡδονικῶν καλουμένων αὐτοὶ τὸν τῆς
ἡδονῆς τοῖχον ὑποσκάπτοντες, ὥς που ὁ Ἐρατο-
σθένης ἔφη. κἀμοὶ μὲν τὰ καλὰ τῶν ἑταιρῶν ἀπο-
φθέγματα πεπεράνθω μέχρι τούτων· ἐπ' ἄλλο δ'
εἶδος μεταβήσομαι λόγων. καὶ πρῶτόν γε[2] μνη-
σθήσομαι τοῦ φιλαληθεστάτου Ἐπικούρου· ὅστις
ἐγκυκλίου[3] παιδείας ἀμύητος ὢν ἐμακάριζε καὶ
τοὺς ὁμοίως αὐτῷ ἐπὶ φιλοσοφίαν παρερχομένους,
τοιαύτας φωνὰς προιέμενος· " μακαρίζω σε, ὦ
b οὗτος, ὅτι καθαρὸς πάσης παιδείας[4] ἐπὶ φιλοσοφίαν
ὥρμησαι."[5] ὅθεν αὐτὸν καὶ ὁ Τίμων φησὶν

γραμμοδιδασκαλίδην,[3] ἀναγωγότατον ζωόντων.

οὗτος οὖν ὁ Ἐπίκουρος οὐ Λεόντιον εἶχεν ἐρωμένην
τὴν ἐπὶ ἑταιρείᾳ διαβόητον γενομένην; ἡ δὲ οὐδ'[7]
ὅτε φιλοσοφεῖν ἤρξατο ἐπαύσατο ἑταιροῦσα, πᾶσι
δὲ[8] τοῖς Ἐπικουρείοις[9] συνῆν ἐν τοῖς κήποις,
Ἐπικούρῳ δὲ καὶ ἀναφανδόν· ὥστ' ἐκεῖνον πολλὴν

[1] Schweighäuser: τοιοῦτον A.
[2] πρῶτόν γε A: πρῶτον μὲν Kaibel.
[3] A: τῆς ἐγκυκλίου CE.
[4] Schweighäuser: αἰτίας ACE, αἰκίας Diels.
[5] Kaibel: ὥρμησας A, ἔρχῃ CE.
[6] γραμμοδιδασκαλίδης Diog. Laert. x. 2: γράμμα διδασκαλίδην (*sic*) A.
[7] Meineke: οὐχ A.
[8] πᾶσι δὲ Kaibel: πᾶσί τε A, πᾶσι μὲν CE (omitting οὐδ' . . . ἑταιροῦσα).
[9] CE: ἐπικουρίοις A.

[a] Begun at 571 a (p. 85).
[b] A term used to denote the hedonistic school of Aristippus. The same rather contemptuous adjective, ἡδονικός, is used of Archestratus 312 f (vol. iii. p. 404).

After this long recital,[a] spoken with some volubility, Myrtilus said: I hope you philosophers will not be like that—you who in your own lives anticipated the so-called Voluptuaries[b] in "undermining the wall of Pleasure," as Eratosthenes has expressed it somewhere.[c] As for me, let the clever retorts of courtesans be brought to a close at this point; for I am going to shift the discussion to another topic.[d] And first of all I will recall Epicurus, who is distinguished for his candour; for, being himself uninitiated in the mysteries of a general education,[e] he congratulated those who went in for philosophy as he had, giving vent to such words as these[f]: "I congratulate you, sir, on having gone in for philosophy while innocent of all education."[g] Whence Timon even calls him[h] "pettifogging school-teacher, most ill-bred of living men." Well, did not this same Epicurus keep Leontion as his mistress, the woman who had become notorious as a strumpet? Why! Even when she began to be a philosopher, she did not cease her strumpet ways, but consorted with all the Epicureans in the Gardens, and even before the very eyes of Epicurus; wherefore he, poor devil, was really

[c] Bernhardy 193; see Athen. 281 d (vol. iii. p. 262). The curious phrase, "undermining the wall of Pleasure," means that those Voluptuaries broke completely through all conventions in their self-indulgence.

[d] In fact he only interrupts it.

[e] *i.e.* preceding professional training.

[f] Usener p. 137.

[g] Or, reading *αἰκίας* for *αἰτίας* (see crit. note 4), "innocent of all injurious behaviour." But the text of Epicurus must have been already corrupted in Myrtilus's day. Diog. Laert. x. 6, reports Epicurus's advice: *παιδείαν πᾶσαν φεῦγε.* Yet *cf.* Athen. 354 b (vol. iv. p. 102).

[h] Diels, *P.P.F.* iii. 197, Wachsmuth fr. 55.

φροντίδα ποιούμενον αὐτῆς τοῦτ' ἐμφανίζειν διὰ τῶν πρὸς Ἕρμαρχον Ἐπιστολῶν.

c Λαΐδος τε τῆς ἐξ Ὑκκάρων (πόλις δ' αὕτη Σικελική, ἀφ' ἧς αἰχμάλωτος γενομένη ἧκεν εἰς Κόρινθον, ὡς ἱστορεῖ Πολέμων ἐν τῷ ἕκτῳ τῶν πρὸς Τίμαιον· ἧς καὶ Ἀριστιππος ἤρα καὶ Δημοσθένης ὁ ῥήτωρ Διογένης τε ὁ κύων· ἣ καὶ Ἀφροδίτη ἡ ἐν Κορίνθῳ ἡ Μελαινὶς καλουμένη νυκτὸς ἐπιφαινομένη ἐμήνυεν ἐραστῶν ἔφοδον πολυταλάντων) οὐχ Ὑπερείδης[1] μνημονεύει ἐν τῷ κατὰ Ἀρισταγόρας δευτέρῳ; Ἀπελλῆς δὲ ὁ ζωγράφος ἔτι[2] παρθένον οὖσαν τὴν Λαΐδα θεασάμενος ἀπὸ τῆς Πειρήνης ὑδροφοροῦσαν καὶ θαυμάσας τὸ κάλλος ἤγαγέν ποτε αὐτὴν εἰς φίλων συμπόσιον.

d χλευασάντων δ' αὐτὸν τῶν ἑταίρων ὅτι ἀνθ' ἑταίρας παρθένον εἰς τὸ συμπόσιον ἀγάγοι, "μὴ θαυμάσητε, εἶπεν· ἐγὼ γὰρ αὐτὴν μέλλουσαν εἰς[3] ἀπόλαυσιν μετ' οὐδ' ὅλην τριετίαν καλὴν[4] δείξω." τὸ δ' αὐτὸ καὶ Σωκράτης ἐμαντεύσατο περὶ Θεοδότης τῆς Ἀθηναίας, ὥς φησι Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν· "ὅτι δὲ καλλίστη εἴη καὶ στέρνα κρείττω λόγου παντὸς ἔχοι λέγοντός τινος,[5] 'ἰτέον ἡμῖν, ἔφη, θεασομένοις τὴν γυναῖκα· οὐ γὰρ δὴ ἀκούουσιν[6] ἔστιν κρῖναι τὸ κάλλος.'" οὕτω δ' ἦν ἡ

[1] ὑπερίδησ A. [2] CE: ὅτι A.
[3] μέλλουσαν εἰς Capps: εἰς μέλλουσαν.
[4] ACE: ἱκανὴν Meineke. [5] Kaibel: ἔλεγέν τε A.
[6] Schweighauser: ἀκούσιον A.

[a] Usener p. 138 and Index s.vv. Θεμίστα, Λεόντιον.
[b] Preller 75; below, 589 a (p. 177).
[c] Goddess of the Dark. [d] Blass[3] 96, Kenyon 13.
[e] Athen. 43 b (vol. i. p. 186). On the spring Peirenê at Corinth, see *Am. J. Arch.* 2nd Series, 1900, pp. 204-239.

worried about her, as he makes clear in his *Letters to Hermarchus*.[a]

Then there was Laïs from Hyccara (this is a Sicilian town, from which she was brought as a captive to Corinth, as recorded[b] by Polemon in the sixth book of his *Reply to Timaeus*; she became the mistress of Aristippus, of the orator Demosthenes, and of Diogenes the Cynic; to her the Aphroditê of Corinth, who is called Melaenis,[c] would appear by night and reveal the coming of wealthy lovers); does not Hypereides mention[d] her in his second *Speech against Aristagora*? The painter Apelles caught sight of her when she was still a maid carrying water from the fountain of Peirenê,[e] and, struck by her beauty, he took her with him once to a symposium of his friends. And when they jeered at him for having brought to the symposium not a professional courtesan, but a maid, he replied, "Don't be surprised; for I shall show you that she will be in less, altogether, than three years, a beautiful woman for men's delectation."[f] Socrates, also, divined the same promise in the case of Theodotê of Athens, as Xenophon says in his *Memorabilia*[g]: "When someone remarked that she was very beautiful and had a bosom beyond the power of any tongue to describe Socrates said, 'We must go to see the woman; for it is not possible to judge her beauty by hearsay.'" So beautiful was Laïs[h] that

Corinth (Excavations of the Amer. School), iii. 1 (1930), pp. 31-60, J. G. O'Neill, *Anc. Corinth*, pp. 34-42.

[f] See critical note 3 on opposite page.

[g] *Cf. Mem.* iii. 11. 1; but Xenophon's text is very different.

[h] Wilamowitz, believing that this sentence continues the paraphrase of Xenophon and refers to Theodotê, strikes out ἡ Λαΐς. But it is futile to try to restore order to this late gossip.

e Λαῖς[1] καλὴ ὡς καὶ τοὺς ζωγράφους ἐρχομένους πρὸς αὐτὴν ἀπομιμεῖσθαι τῆς γυναικὸς τοὺς μαστοὺς καὶ τὰ στέρνα. διαζηλοτυπουμένη δέ ποτε ἡ Λαῖς τῇ[2] Φρύνῃ πολὺν ἐραστῶν ἔσχηκεν ὅμιλον, οὐ διακρίνουσα πλούσιον ἢ πένητα οὐδ' ὑβριστικῶς αὐτοῖς χρωμένη.

Ἀρίστιππος δὲ κατ' ἔτος δύο[3] μῆνας[4] συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ τοῖς Ποσειδωνίοις· καὶ ὀνειδιζόμενος ὑπὸ Ἱκέτου[5] ὅτι "σὺ μὲν αὐτῇ τοσοῦτον ἀργύριον δίδως, ἡ δὲ προῖκα Διογένει τῷ κυνὶ συγκυλίεται," ἀπεκρίνατο· "ἐγὼ Λαΐδι χορηγῶ πολλά, ἵνα αὐτὸς αὐτῆς ἀπολαύω, οὐχ f ἵνα μὴ ἄλλος." τοῦ δὲ Διογένους εἰπόντος αὐτῷ· "Ἀρίστιππε, κοινῇ συνοικεῖς πόρνῃ. ἢ κύνιζε οὖν,[6] ὡς ἐγώ, ἢ πέπαυσο"—καὶ ὁ Ἀρίστιππος· "ἆρά γε μή τί σοι ἄτοπον δοκεῖ εἶναι, Διόγενες, οἰκίαν οἰκεῖν ἐν ᾗ πρότερον ᾤκησαν ἄλλοι;" "οὐ γάρ" ἔφη. "τί δὲ' ναῦν ἐν ᾗ πολλοὶ πεπλεύκασιν;" "οὐδὲ τοῦτο" ἔφη. "οὕτως οὖν οὐδὲ γυναικὶ συνεῖναι ἄτοπόν ἐστιν ᾗ πολλοὶ κέχρηνται."

Νυμφόδωρος δ' ὁ Συρακόσιος ἐν τῷ περὶ τῶν ἐν

[1] ἡ λαῖσ ACE, deleted by Wilamowitz.
[2] τῇ CE: om. A.
[3] κατ' ἔτοσ δύο A: δύο τοῦ ἔτους CE.
[4] μῆνασ ACE: δύο μνᾶς διδοὺς (?) Kaibel.
[5] Ἱκέτου Kaibel: οἰκέτου A, τοῦ οἰκέτου CE.
[6] A: γοῦν C. [7] δὲ CE Diog. Laert.: δαὶ A.

painters came to her and copied her breasts and chest.[a] In her rivalry with Phrynê at one time she had a large crowd of lovers,[b] making no distinction between rich and poor, nor treating them disdainfully.[c]

Aristippus every year spent two months with Laïs in Aegina,[d] at the time of Poseidon's festival; and being reproached by Hicetas[e] because, as he said, "you give her so much money, whereas she wallows with Diogenes the Cynic for nothing," he answered: "I give Laïs many bounties that I may enjoy her myself, not that I may prevent another from doing so." When Diogenes said to him: "Aristippus, you cohabit with a common whore. Either, then, you should be a Cynic like me, or stop it entirely;" and Aristippus said[f]: "You don't think it out of place, Diogenes, to live in a house in which other men have lived before?" "Not at all," he replied. "How about sailing in a ship in which many have sailed?" "Nor that either," he said. "That being the case, then, it isn't out of place to consort with a woman whom many have enjoyed."

Nymphodorus of Syracuse, in *The Wonders of Sicily*,

[a] *Cf.* the description of Polyxena, Eur. *Hec.* 560 *μαστούς τ' ἔδειξε στέρνα θ' ὡς ἀγάλματος κάλλιστα.*

[b] *Cf.* Plato, *Epigr.* 15 (Diehl) *ἐραστῶν ἑσμόν*, "swarm of lovers"; so Plato, *Symp.* 178 E *στρατόπεδον ἐραστῶν*, "host of lovers."

[c] Yet Plato, *Epigr.* 15 says of her, *ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος*, "she that laughed proudly at Hellas."

[d] *Cf.* 544 d (vol. v. p. 466) and see critical note 3. The festival Poseidonia was held in Eleusis, below, 590 f, in Tenos, Strabo 487, and elsewhere.

[e] Diog. Laert. viii. 7. 3 says that some authorities credited him rather than Philolaus with the view that the earth moved in a circle (*κατὰ κύκλον*).

[f] Similarly Diog. Laert. ii. 8. 74.

589 Σικελίᾳ Θαυμαζομένων ἐξ Ὑκκάρου φησὶν Σικελικοῦ φρουρίου εἶναι τὴν Λαΐδα. Στράττις δ' ἐν Μακεδόσιν ἢ Παυσανίᾳ Κορινθίαν αὐτὴν εἶναί φησιν διὰ τούτων·

εἰσὶν δὲ πόθεν[1] αἱ παῖδες αὗται καὶ τίνες;
B. νυνὶ[2] μὲν ἥκουσιν Μεγαρόθεν, εἰσὶ δὲ
Κορίνθιαι· Λαῖς μὲν ἡδὶ Μεγακλέους.[3]

Τίμαιος δ' ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἱστοριῶν ἐξ Ὑκκάρων· καθὰ καὶ Πολέμων εἴρηκεν, ἀναιρεθῆναι φάσκων αὐτὴν ὑπό τινων γυναικῶν ἐν Θετταλίᾳ, ἐρασθεῖσάν τινος Παυσανίου Θετταλοῦ, κατὰ φθόνον καὶ δυσζηλίαν ξυλίναις[4] χελώναις τυπτο-
b μένην ἐν Ἀφροδίτης ἱερῷ. διὸ καὶ τὸ τέμενος κληθῆναι Ἀνοσίας Ἀφροδίτης.[5] δείκνυσθαι δ' αὐτῆς τάφον παρὰ τῷ Πηνειῷ σημεῖον ἔχοντα ὑδρίαν λιθίνην καὶ ἐπίγραμμα τόδε·

τῆσδέ ποθ' ἡ μεγάλαυχος ἀνίκητός τε πρὸς ἀλκὴν[6]
Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου,
Λαΐδος· ἣν ἐτέκνωσεν Ἔρως, θρέψεν δὲ Κόρινθος·
κεῖται δ' ἐν κλεινοῖς Θετταλικοῖς πεδίοις.

αὐτοσχεδιάζουσιν οὖν οἱ λέγοντες αὐτὴν ἐν Κορίνθῳ
c τεθάφθαι πρὸς τῷ Κρανείῳ.[7]

[1] Schweighäuser: ὅθεν A. [2] Porson: νῦν A.
[3] ἡδὶ Dindorf, Μεγακλέους Porson: λαῖσ μὲν ἥι μέγα κλεοσ ἰδί A.
[4] ξυλίναις CE Schol. Aristoph. *Plut.* 179: ταῖσ ξυλιναισ A.

says[a] that Laïs came from Hyccarum, a Sicilian outpost. But Strattis in *The Macedonians* or *Pausanias*, says she was a Corinthian, in these lines[b]: "A. Whence come these girls, and who are they? B. Just now they have come from Megara, but they are Corinthian; first there is Laïs here, belonging to Megacles." Timaeus, however, says[c] in the thirteenth book of his *Histories* that she was from Hyccara; this agrees with Polemon, who says[d] that she was murdered by some women in Thessaly; she had fallen in love with a Thessalian named Pausanias, and through envy and jealousy was beaten to death with wooden footstools in a temple of Aphroditê. Hence, he further says, the precinct came to be called that of Sinful[e] Aphroditê. Her tomb is shown beside the Peneïus river, bearing a stone water-jar and the following epigram[f]: "Time was when proud Hellas, invincible in might, was enslaved by the divine beauty of Laïs here, whom Eros begot and Corinthus nourished; now she lies in the glorious plains of Thessaly." Hence those who say that she is buried in Corinth beside the Cornel Grove are inventing the story.

[a] *F.H.G.* ii. 375, *cf.* Schol. Aristoph. *Plut.* 179, *F.H.G.* i. 185 (Philistus). Steph. Byz. *s.v.* would distinguish this fortress from the city called Hyccara (Hycara Athen. 327 b, vol. iii. p. 470). On this Laïs (the elder) see Plut. *Nic.* 15, Pausan. ii. 2.

[b] Kock i. 718.

[c] *F.H.G.* i. 219.

[d] Preller 75; above, 588 b-c (p. 171).

[e] For *ἀνοσίας*, Plut. *Amat.* 768 A has *ἀνδροφόνου* "murderess."

[f] Brunck *Anal.* iii. 284. On the grave of Laïs see Frazer's *Pausanias* ii. 19.

---

[5] ACE, Schol. Aristoph.: *Ἀφροδίτης ἀνδροφόνου* Plut. *Amat.* 768 A.

[6] *πρὸς ἀλκῆς* (?) Kaibel.

[7] *κρανίωι* A.

Ἀριστοτέλης δ' ὁ Σταγιρίτης[1] οὐκ ἐξ Ἐρπυλλίδος τῆς ἑταίρας ἐπαιδοποίησε[2] Νικόμαχον καὶ συνῆν ταύτῃ μέχρι θανάτου, ὥς φησιν Ἕρμιππος ἐν τῷ περὶ Ἀριστοτέλους πρώτῳ, ἐπιμελείας φάσκων τῆς δεούσης τετυχηκέναι ἐν ταῖς τοῦ φιλοσόφου διαθήκαις. ὁ δὲ καλὸς ἡμῶν[3] Πλάτων οὐκ Ἀρχεάνασσαν[4] τὴν Κολοφωνίαν ἑταίραν ἠγάπα; ὡς καὶ ᾄδειν εἰς αὐτὴν τάδε·

Ἀρχεάνασσαν[5] ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίρην,
ἧς καὶ ἐπὶ ῥυτίδων[6] πικρὸς ἔπεστιν ἔρως.
d ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης
πρωτοπόρου, δι' ὅσης ἤλθετε πυρκαιῆς.

Περικλῆς δὲ ὁ Ὀλύμπιος, ὥς φησι Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν, οὐχ ἕνεκεν Ἀσπασίας—οὐ τῆς νεωτέρας ἀλλ' τῆς Σωκράτει τῷ σοφῷ συγγενομένης—καίπερ τηλικοῦτον ἀξίωμα συνέσεως καὶ πολιτικῆς δυνάμεως κτησάμενος, οὐ συνετάραξε πᾶσαν τὴν Ἑλλάδα; ἦν δ' οὗτος[8] ἀνὴρ πρὸς ἀφροδίσια πάνυ καταφερής· ὅστις καὶ τῇ τοῦ υἱοῦ γυναικὶ συνῆν, ὡς Στησίμβροτος ὁ Θάσιος ἱστορεῖ, κατὰ τοὺς αὐτοὺς αὐτῷ χρόνους γενόμενος καὶ
e ἑωρακὼς αὐτόν, ἐν τῷ ἐπιγραφομένῳ περὶ Θεμι-

[1] Musurus: σατυριστὴς ACE.
[2] ACE: ἐπαιδοποιήσατο Meineke.
[3] A: ἡμῶν Usener, ὑμῶν (?) Kaibel.
[4] ἀρχαιάνασσαν A, ἀρχαιάνασσαν CE.
[5] ἀρχαι- ACE.
[6] κἀπὶ ῥυτίδων CE, καὶ ἀπορρυτίδων A.
[7] Kaibel (following Schweighäuser): τῆσ νεωτέρασ ἀλλ' οὐ A, so CE, in a different constr.
[8] οὗτος ὁ Kaibel; but ἀνήρ is part of the predicate.

[4] For Σταγιρίτης the MSS. have σατυριστής "actor in a

As for Aristotle of Stageira,[a] did he not beget Nicomachus from the courtesan Herpyllis and live with her until his death? So says Hermippus[b] in the first book of his work *On Aristotle*, adding that she received fitting provision by the terms of the philosopher's will. And was not our noble Plato in love with Archeanassa, the courtesan of Colophon? So much so that he sang these lines to her[c]: "Archeanassa, the courtesan from Colophon, is mine, even upon her wrinkles there rests a passion bitter. Ah, ye wretches who encountered her youth in its first course, through what hot flame did ye pass!" Again, take the Olympian Pericles, as Clearchus says in the first book of his *Love Stories*[d]: "On account of Aspasia—not the younger, but the one who was a contemporary of Socrates—although he had acquired so eminent a reputation for political sagacity and influence,[e] did he not for her sake, throw all Greece into turmoil? He was a man in fact very prone to love affairs.[f] Why! He even consorted with his son's wife, as Stesimbrotus of Thasos, who lived at the same period as Pericles and had seen him, records[g]

satyric play." This epithet may be right if it can be extended to refer sarcastically to σατυρίασις. *Anth. App.* 321, τραυλὸς (lisping) ὁ Σταγειρίτης, λάγνος (lecherous), προγάστωρ (pot-bellied), παλλακαῖς συνημμένος (tied to his concubines).

[b] *F.H.G.* iii. 46, Diog. Laert. v. 12.

[c] *P.L.G.*[4] ii. 310, Diehl fr. 8, Diog. Laert. iii. 31; in *Anth. Pal.* vii. 217 ascribed to Asclepiades.

[d] *F.H.G.* ii. 314, above, 570 a (p. 79). For the younger Aspasia, loved by Cyrus, see above, 576 d (p. 113).

[e] So Thuc. i. 139, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος.

[f] This sentence belongs to Stesimbrotus, not Clearchus; J. 2 B 518.

[g] *F.H.G.* ii. 56, J. 2 B 515. On the anti-Periclean tendencies of Stesimbrotus see H. N. Fowler, *H.S.C.P.* xii. 215.

στοκλέους καὶ Θουκυδίδου καὶ Περικλέους. ⌈Ἀντι-
Antisth. fr. 16 σθένης[1] δ' ὁ Σωκρατικὸς ἐρασθέντα φησὶν αὐτὸν
Ἀσπασίας δὶς τῆς ἡμέρας εἰσιόντα καὶ ἐξιόντα
ἀπ' αὐτῆς ἀσπάζεσθαι τὴν ἄνθρωπον, καὶ φευγούσης
ποτὲ αὐτῆς γραφὴν ἀσεβείας λέγων ὑπὲρ αὐτῆς
πλείονα[2] ἐδάκρυσεν ἢ ὅτε ὑπὲρ τοῦ βίου καὶ τῆς
οὐσίας ἐκινδύνευεν.[3] καὶ Κίμωνος δ' Ἐλπινίκῃ τῇ
ἀδελφῇ παρανόμως συνόντος, εἶθ' ὕστερον ἐκ-
δοθείσης[4] Καλλίᾳ, καὶ φυγαδευθέντος μισθὸν ἔλαβε
f τῆς καθόδου αὐτοῦ ὁ Περικλῆς τὸ τῇ Ἐλπινίκῃ
μιχθῆναι.⌉ Πυθαίνετος δ' ἐν τρίτῳ περὶ Αἰγίνης
Περίανδρόν φησιν ἐξ Ἐπιδαύρου τὴν Προκλέους
θυγατέρα Μέλισσαν ἰδόντα Πελοποννησιακῶς
ἠσθημένην (ἀναμπέχονος γὰρ καὶ μονοχίτων ἦν
καὶ ὠνοχόει τοῖς ἐργαζομένοις) ἐρασθέντα γῆμαι.
Πύρρου δὲ τοῦ Ἠπειρωτῶν βασιλέως, ὃς ἦν
τρίτος ἀπὸ Πύρρου τοῦ ἐπ' Ἰταλίαν στρατεύσαντος,
590 ἐρωμένη ἦν Τίγρις ἡ Λευκαδία· ἣν[5] Ὀλυμπιὰς ἡ
τοῦ νεανίσκου μήτηρ φαρμάκοις ἀπέκτεινεν."

Καὶ ὁ Οὐλπιανός, ὥσπερ ἕρμαιόν τι, ἔτι λα-
λοῦντος τοῦ Μυρτίλου ἔφη, εἰ ἔχομεν ἀρρενικῶς

[1] Αἰσχίνης Jacobs.
[2] A: πλείω CE.
[3] ἐκινδύνευεν CE (-ε): ἐκινδύνευσε A.
[4] τῇ ὕστερον ἐκδοθείσῃ (?) Kaibel, partially supported by C, which has καίτοι τῷ καλλίᾳ ἐκδοθείσῃ after τὰ τ. Ἐ. μιχθῆναι.
[5] δὶς A, with CE.

---

[a] Plut. *Per.* 24, on the authority of Aeschines, Athen. 220 a (vol. ii. p. 496). Plutarch says: Pericles stopped in on his way to and from the market-place to kiss Aspasia; perhaps, therefore, we should read ἀπ' ἀγορᾶς for ἀπ' αὐτῆς. Antisthenes as well as Aeschines wrote on Aspasia, Diog. Laert. vi. 16, Athen. *loc. cit.* For her trial see Plut. *Per.* 32.

in the book entitled *On Themistocles, Thucydides, and Pericles.* Antisthenes the Socratic says [a] that when in love with Aspasia he would go in and out of her house twice a day to greet the wench, and once, when she was prosecuted on a charge of impiety he, while pleading in her behalf, wept more tears than when his life and property were endangered.[b] Again, when Cimon consorted unlawfully [c] with his sister Elpinicê and she was later given in marriage to Callias, after Cimon had been sent into exile, Pericles took as the price of Cimon's restoration the privilege of lying with Elpinicê. Pythaenetus in the third book of his work *On Aegina* says [d] that Periander saw in Epidaurus the daughter of Procles,[e] Melissa, dressed in the Peloponnesian fashion (that is, she wore no cloak, but was clad in a simple tunic while she acted as wine-pourer for the workmen in the fields) and falling in love he married her. As for Pyrrhus, the king of Epeirus, third in descent from the Pyrrhus who invaded Italy, his mistress was Tigris of Leucadia, whom Olympias, the young man's mother, murdered with poison."

Thereupon Ulpian, as though pouncing upon a lucky find, asked, while Myrtilus was still speaking, whether we have the word *tigris* (tiger) used as a

[b] Plut. *Per.* 32.

[c] She was his half-sister, according to C. Nepos, *Cim.* 1; but see [Andoc.] *Contra Alcib.* 33, Suid. *s.* Κίμων. CE give the sequence of thought better: "Cimon, for consorting with his sister, was sent into exile. Pericles took as the price, etc., . . . lying with Elpinicê, although she had been given in marriage to Callias."

[d] *F.H.G.* iv. 487.

[e] Ruler of Epidaurus, Hdt. iii. 50, 52, v. 92 η. *Cf.* the case of Cleinô, 576 *f* (p. 114) and note *b*. Periander later killed Melissa in a fit of jealousy; see How and Wells's notes on Hdt. *loc. cit.*

εἰρημένον τὸν τίγριν. "Φιλήμονα γὰρ οἶδα τοῦτ' εἰρηκότα ἐν Νεαίρᾳ·

ὥσπερ Σέλευκος δεῦρ' ἔπεμψε τὴν τίγριν,
ἣν εἴδομεν[1] ἡμεῖς, τῷ Σελεύκῳ πάλιν ἔδει
ἡμᾶς τι[2] παρ' ἡμῶν ἀντιπέμψαι θηρίον.
B. τρυγέρανον· οὐ γὰρ γίγνεται τοῦτ' αὐτόθι."

πρὸς ὃν ὁ Μυρτίλος ἔφη· "ἐπείπερ ἡμῖν ἐμποδὼν ἐγένου κατάλογον γυναικῶν ποιουμένοις, οὐ κατὰ
b τοὺς Σωσικράτους[3] τοῦ Φαναγορείτου[4] Ἡοίους ἢ τὸν τῶν γυναικῶν κατάλογον Νικαινέτου τοῦ Σαμίου ἢ Ἀβδηρίτου, μικρὸν ἐπισχὼν[5] ἐπὶ τὴν παρὰ σοῦ τρέψομαι πεῦσιν, "Φοῖνιξ ἄττα γεραιέ." μάθε οὖν ὅτι ἀρσενικῶς εἴρηκε τὸν τίγριν Ἄλεξις ἐν Πυραύνῳ οὕτως·

ἄνοιγ', ἄνοιγε τὴν θύραν· ἐλάνθανον
πάλαι περιπατῶν ἀνδριάς,[6] ἀλετὼν[7] ὄνος,
ποτάμιος ἵππος, τοῖχος, ὁ Σελεύκου τίγρις.

ἔχων δὲ καὶ ἄλλα μαρτύρια ἀνατίθεμαι τὰ νῦν, ἕως
c ἂν ἀπομνημονεύσω τὸν τῶν[8] καλῶν γυναικῶν κατάλογον. Κλέαρχος γὰρ περὶ Ἐπαμινώνδου φησὶν οὕτως· "Ἐπαμινώνδας δ' ὁ Θηβαῖος σεμνότερον[9]

[1] Dindorf: ἴδωμεν A.
[2] ἡμᾶς τι Schweighäuser: τι ἡμᾶσ A.
[3] Σωστράτου Schweighäuser, *cf.* Steph. Byz. *s.* Μυκάλη.
[4] Φαναγορίτου Musurus: φαναγοριστοῦ A.
[5] Coraes: ἀποσχὼν A. [6] Dalechamps: ἀνδρείασ A.
[7] ἀλέτων A; *cf.* 263 a. [8] Meineke: περὶ τῶν A.
[9] σεμνότερος Dalechamps.

---

[a] It occurs in both genders.
[b] Kock ii. 490, showing the feminine.

masculine.[a] For I know that Philemon has the following in *Neaera*[b]: "A. Just as Seleucus sent hither the tigress, which we ourselves have seen, so we in turn ought to send to Seleucus some beast of ours. B. Ha, a wild trygeranus![c] For that monster isn't found there." In answer to Ulpian Myrtilus said: Since you broke in upon us when I was making a catalogue of women—though not comparable with the *Or such men as* of Sosicrates[d] of Phanagoreia or the *Catalogue of Women* by Nicaenetus of Samos or Abdera—I will pause for a bit and attend to your question, "Phoenix, my venerable father."[e] Learn, therefore, that "tiger" occurs as a masculine word in Alexis's *Fire-Lighter* thus[f]: "Open the door, open! Long have I been going about without knowing that I was a mere statue, a grindstone, a hippopotamus, a wall, Seleucus's tiger." But though I have other testimony, I postpone quoting it for the present until I have recited the list of beautiful women. For Clearchus has the following about Epameinondas[g]: "Epameinondas of Thebes was wont

[a] A capital invention, comparable with "Jabberwock"; it can be understood either as "Triple-Crane" or as "Strip-Feast" (of a parasite), Athen. 6 b (vol. i. p. 24).

[d] Or Sostratus? *Cf.* Steph. Byz. *s.* Μυκάλη. Ἕοῖαι, masculine, is formed in parody of Ἠοῖαι, *i.e.* ἢ οἷαι, "Or such women as," the epic of woman attributed to Hesiod; see Athen. 364 b, 428 b (vol. iv. pp. 148, 438), below, 597 d (p. 220).

[e] The address of Achilles to Phoenix, *Il.* ix. 607; but Phoenix also means Phoenician, alluding to Ulpian's Eastern origin.

[f] Kock ii. 372. The speaker is like Strepsiades, Aristoph. *Nub.* 180-181, now recognizing his ignorance and stupidity and eager to enter college. For the metaphors *cf.* "Ye stocks! ye stones! ye worse than senseless things!"

[g] *F.H.G.* ii. 310.

μὲν τούτων, οὐκ εὐσχημόνως δὲ περὶ τὰς ὁμιλίας
ἐσφάλλετο τὴν γνώμην, εἴ τις θεωροίη τὰ πρα-
χθέντα αὐτῷ περὶ τὴν Λάκωνος γυναῖκα." Ὑπερεί-
δης[1] δ' ὁ ῥήτωρ ἐκ τῆς πατρῴας οἰκίας τὸν υἱὸν
ἀποβαλὼν[2] Γλαύκιππον Μυρρίνην[3] τὴν πολυτελε-
στάτην ἑταίραν ἀνέλαβε, καὶ ταύτην μὲν ἐν ἄστει
d εἶχεν, ἐν Πειραιεῖ δὲ Ἀρισταγόραν, Φίλαν δ' ἐν
Ἐλευσῖνι, ἣν πολλῶν ὠνησάμενος χρημάτων εἶχεν
ἐλευθερώσας, ὕστερον δὲ καὶ οἰκουρὸν αὐτὴν
ἐποιήσατο, ὡς Ἰδομενεὺς ἱστορεῖ. ἐν δὲ τῷ ὑπὲρ
Φρύνης λόγῳ Ὑπερείδης[1] ὁμολογῶν ἐρᾶν τῆς
γυναικὸς καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλαγμένος τὴν
προειρημένην Μυρρίνην[4] εἰς τὴν οἰκίαν εἰσήγαγεν.
Ἦν δ' ἡ Φρύνη ἐκ Θεσπιῶν.[5] κρινομένη δὲ ὑπὸ
Εὐθίου τὴν ἐπὶ θανάτῳ ἀπέφυγεν· διόπερ ὀργισθεὶς
ὁ Εὐθίας οὐκ ἔτι εἶπεν ἄλλην δίκην, ὥς φησιν
e Ἕρμιππος. ὁ δὲ Ὑπερείδης[1] συναγορεύων τῇ
Φρύνῃ, ὡς οὐδὲν ἤνυε λέγων ἐπίδοξοί τε ἦσαν οἱ
δικασταὶ καταψηφιούμενοι, παραγαγὼν αὐτὴν εἰς
τοὐμφανὲς καὶ περιρρήξας[6] τοὺς χιτωνίσκους γυμνά
τε τὰ στέρνα ποιήσας τοὺς ἐπιλογικοὺς οἴκτους ἐκ
τῆς ὄψεως αὐτῆς ἐπερρητόρευσεν δεισιδαιμονῆσαί

[1] ὑπερίδης ACE.
[2] ἐκβαλεῖν (in a different constr.) [Plut.] *Vit. X Or.* 849 D: ἀποβαλὼν A.; *cf.* Theocr. xi. 19.
[3] μυρίνην A, μύρανναν CE.
[4] *sic* A here.
[5] θεσπειῶν A (but θεσπιαῖσ 591 b): θεσπιέων CE.
[6] περιρήξασ A.

[a] As usual, Clearchus is vague. He may allude to the gossip in Plut. 808 D, *Apopth.* 192 E, to the effect that Epameinondas spared the life of a condemned man, for whom Pelopidas had pleaded in vain, when the man's wife approached Epameinondas with her blandishments. See below, 605 a (p. 261).

to speak more solemnly than these whom I have mentioned, yet in his actual relations with women he by indecency failed to measure up to his sentiments, if one considers what he did in the affair with the Lacedaemonian's wife." [a] And Hypereides the orator, after casting away his son Glaucippus from the ancestral home, took up with Myrrhinê,[b] the most costly of all prostitutes, and kept her in Athens, while in the Peiraeus he kept Aristagora, and in Eleusis Phila, whom he purchased for a very large sum of money and kept as a freed-woman, later making her even mistress of his household, as Idomeneus records.[c] In his speech, also, *In Defence of Phrynê*, he confesses [d] that he was in love with the woman and had not even then ceased from his passion when he brought the aforesaid Myrrhinê into his house.

Now Phrynê came from Thespiae. When she was brought to trial by Euthias on a capital charge she was acquitted; this so enraged Euthias that he never afterwards pleaded another case at law, according to Hermippus.[e] As Hypereides, while defending Phrynê,[f] was making no progress in his plea, and it became apparent that the judges meant to condemn her, he caused her to be brought where all could see her; tearing off her undervests he laid bare her bosom and broke into such piteous lamentation in his peroration at the sight of her,

[b] Above, 567 f; for Aristagora see 586 a (p. 161), 587 c (p. 167), 588 c (p. 173); for Phila, 587 e (p. 169), 593 f (p. 203).

[c] *F.H.G.* ii. 492. See [Plut.] *X Orat.* 849 D (L.C.L. p. 443 note *d*), Alciphron i. 31, Sext. Emp. *Math.* ii. 4, Quintil. ii. 15. 9.

[d] Blass[3] 124.

[e] *F.H.G.* iii. 50, Harpocr. *s.* Εὐθίας.

[f] Blass[3] 125, Kenyon 178.

τε ἐποίησεν τοὺς δικαστὰς[1] καὶ[2] τὴν ὑποφῆτιν καὶ
ζάκορον Ἀφροδίτης ἑλέῳ χαρισαμένους μὴ ἀπο-
κτεῖναι. καὶ ἀφεθείσης ἐγράφη μετὰ ταῦτα ψή-
φισμα μηδένα οἰκτίζεσθαι τῶν λεγόντων ὑπέρ
τινος μηδὲ βλεπόμενον τὸν κατηγορούμενον ἢ τὴν
f κατηγορουμένην κρίνεσθαι. ἦν δὲ ὄντως μᾶλλον
ἡ Φρύνη καλὴ ἐν τοῖς μὴ βλεπομένοις. διόπερ
οὐδὲ ῥᾳδίως[3] ἦν αὐτὴν ἰδεῖν γυμνήν· ἐχέσαρκον γὰρ
χιτώνιον ἠμπείχετο καὶ τοῖς δημοσίοις οὐκ ἐχρῆτο
βαλανείοις. τῇ δὲ τῶν Ἐλευσινίων πανηγύρει καὶ
τῇ τῶν Ποσειδωνίων ἐν ὄψει τῶν Πανελλήνων
πάντων[4] ἀποθεμένη θοἰμάτιον[5] καὶ λύσασα τὰς
κόμας ἐνέβαινε τῇ θαλάττῃ· καὶ ἀπ' αὐτῆς Ἀπελλῆς
591 τὴν Ἀναδυομένην Ἀφροδίτην ἀπεγράψατο.[6] καὶ
Πραξιτέλης δὲ ὁ ἀγαλματοποιὸς ἐρῶν αὐτῆς τὴν
Κνιδίαν Ἀφροδίτην ἀπ' αὐτῆς ἐπλάσατο καὶ ἐν
τῇ τοῦ Ἔρωτος βάσει τῇ ὑπὸ τὴν σκηνὴν τοῦ
θεάτρου ἐπέγραψε·

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν Ἔρωτα,
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ. φίλτρα δὲ βάλλω
οὐκέτ' ὀιστεύων, ἀλλ' ἀτενιζόμενος.

b ἐκλογήν τε[7] αὐτῇ τῶν ἀγαλμάτων ἔδωκεν, εἴτε τὸν
Ἔρωτα θέλοι λαβεῖν εἴτε τὸν ἐπὶ Τριπόδων Σά-
τυρον. ἡ δὲ ἑλομένη τὸν Ἔρωτα ἀνέθηκεν αὐτὸν

[1] CE: δικάσ A. [2] καὶ added by Sauppe.
[3] ῥᾴδιον Musurus. [4] πάντων om. CE, deleted by Cobet.
[5] CE: ἀποτιθεμένη θοἰμάτια A.
[6] Musurus: ἀνεγράψατο ACE.
[7] ACE: ἐκλογὴν δὲ Kaibel.

[a] Ποντία Κύπρι, Eur. *Hipp.* 522. See Pliny, *N.H.* xxxv. 10, 36.
[b] Pliny xxxvi. 5. 4.
[c] *Anth. Plan.* app. 182, 206, tr. Bevan.

that he caused the judges to feel superstitious fear of this handmaid and ministrant of Aphroditê, and indulging their feeling of compassion, they refrained from putting her to death. And after she had been acquitted a decree was passed that no person speaking in a defendant's behalf should indulge in lamentation, nor should the accused man or woman on trial be bared for all to see. As a matter of fact, Phrynê was more beautiful in the unseen parts. Hence one could not easily catch a glimpse of her naked; for she always wore a tunic which wrapped her body closely, and she did not resort to the public baths. At the great assembly of the Eleusinia and at the festival of Poseidon, in full sight of the whole Greek world, she removed only her cloak and let down her long hair before stepping into the water; she was the model for Apelles when he painted his Aphroditê Rising from the Sea.[a] So, too, the sculptor Praxiteles, being in love with her, modelled his Cnidian Aphroditê [b] from her, and on the pedestal of his Eros below the stage of the theatre he wrote an epigram [c]: "Praxiteles hath portrayed to perfection the Passion (Eros) which he bore, drawing his model from the depths of his own heart and dedicating Me to Phrynê as the price of Me. The spell of love which I cast comes no longer from my arrow, but from gazing upon Me." He also gave her a choice of his statues, to see whether she wished to take his Eros, or his Satyr, which stood in the Street of the Tripods.[d] She chose the Eros and

[d] The street which ran from the centre of the city (Athens) to the eastern entrance of the theatre. See Pausan. i. 20. 1, Athen. 543 a (vol. v. p. 458), Harrison, *Myth. and Mon. of Anc. Athens*, pp. 241-243.

ἐν Θεσπιαῖς. αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα ποιήσαντες ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος Πεντελικοῦ· κατεσκεύασε δ' αὐτὸν Πραξιτέλης. ὃν καὶ θεασάμενος Κράτης ὁ κυνικὸς ἔφη τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα. ἔστηκε δὲ καὶ ἡ εἰκὼν αὕτη μέση τῆς Ἀρχιδάμου τοῦ
e Λακεδαιμονίων βασιλέως καὶ τῆς Φιλίππου τοῦ Ἀμύντου, ἔχουσα ἐπιγραφὴν "Φρύνη Ἐπικλέους Θεσπική,"[1] ὥς φησιν Ἀλκέτας ἐν β' περὶ τῶν ἐν Δελφοῖς Ἀναθημάτων. Ἀπολλόδωρος δ' ἐν τῷ περὶ Ἑταιρῶν δύο ἀναγράφει Φρύνας γεγονέναι,[2] ὧν τὴν μὲν ἐπικαλεῖσθαι Κλαυσιγέλωτα, τὴν δὲ Σαπέρδιον. Ἡρόδικος δὲ ἐν ἕκτῳ Κωμῳδουμένων τὴν μὲν[3] παρὰ τοῖς ῥήτορσί φησιν ὀνομαζομένην Σηστὸν καλεῖσθαι διὰ τὸ ἀποσήθειν καὶ ἀποδύειν τοὺς
d συνόντας αὐτῇ, τὴν δὲ Θεσπικήν.[1] ἐπλούτει δὲ σφόδρα ἡ Φρύνη καὶ ὑπισχνεῖτο τειχιεῖν[4] τὰς Θήβας, ἐὰν ἐπιγράψωσιν[5] Θηβαῖοι ὅτι "Ἀλέξανδρος μὲν κατέσκαψεν, ἀνέστησεν δὲ Φρύνη ἡ ἑταίρα," ὡς ἱστορεῖ Καλλίστρατος ἐν τῷ περὶ Ἑταιρῶν. εἴρηκεν δὲ περὶ τοῦ πλούτου αὐτῆς Τιμοκλῆς ὁ κωμικὸς ἐν Νεαίρᾳ (πρόκειται τὸ μαρτύριον) καὶ Ἄμφις ἐν Κουρίδι. παρεσίτει δὲ

[1] Θεσπιακή (?) Kaibel.
[2] γεγονέναι om. C, deleted by Kaibel.
[3] τὴν μὲν CE: τὴν A.
[4] ἀνατειχιεῖν Meineke.
[5] εἰ ἐπιγράψειαν C.

[a] Aelian, *V.H.* ix. 32, says that only the most licentious

set it up as a votive offering in Thespiae. Of Phrynê herself the neighbours made and set up a golden statue at Delphi, on a pillar of Pentelic marble [a]; Praxiteles executed the work. When the Cynic Crates [b] saw it he called it an offering dedicated to Greek incontinence. This image stands midway between that of Archidamus, king of Lacedaemon, and that of Philip, the son of Amyntas, and bears a label, "Phrynê, daughter of Epicles, of Thespiae"; so says Alcetas in the second book of his work *On the dedicatory Offerings at Delphi*.[c] Now Apollodorus in his book *On Courtesans* records [d] that there were two Phrynês, one of whom, he says, was nicknamed Teary-Smile, the other Goldfish. But Herodicus in the sixth book of his *Persons mentioned in Comedy* [e] says that in the orators the one was called Sestus because she sifted (*sethein*) and stripped all who resorted to her, whereas the other was the Thespian. Now Phrynê was very rich, and used to promise that she would build a wall about Thebes if the Thebans would write an inscription upon it, that "Whereas Alexander demolished it, Phrynê the courtesan restored it"; so records Callistratus in his book *On Courtesans*.[f] Her wealth is spoken of by the comic poet Timocles in *Neaera* (his testimony has been cited above) [g] and by Amphis in *The Tire-*

Greeks contributed money for this. Paus. ix. 27 says the statue was gilded.

[b] So Plut. 401 A; but Diog. Laert. vi. 60 ascribes the remark to Diogenes the Cynic.

[c] *F.H.G.* iv. 295.

[d] J. 2 B 1106.

[e] *Cf.* above, 586 a (p. 159).

[f] Propert. ii. 5 nec quae deletas potuit componere Thebas Phryne tam multis facta beata viris.

[g] 567 e (p. 65).

e τῇ Φρύνῃ Γρυλλίων εἷς ὢν τῶν Ἀρεοπαγιτῶν,[1] ὡς καὶ Σάτυρος ὁ Ὀλύνθιος ὑποκριτὴς Παμφίλῃ. Ἀριστογείτων δὲ ἐν τῷ κατὰ Φρύνης τὸ κύριόν φησιν αὐτῆς εἶναι ὄνομα Μνησαρέτην. οὐκ ἀγνοῶ δὲ ὅτι τὸν ἐπιγραφόμενον κατ' αὐτῆς Εὐθίου λόγον Διόδωρος ὁ περιηγητὴς Ἀναξιμένους φησὶν εἶναι. Ποσείδιππος[2] δ' ὁ κωμικὸς ἐν Ἐφεσίᾳ τάδε φησὶν περὶ αὐτῆς·

Φρύνη ποθ'[3] ἡμῶν γέγονεν ἐπιφανεστάτη
πολὺ τῶν ἑταιρῶν. καὶ γὰρ εἰ νεωτέρα
τῶν τότε χρόνων εἶ,[4] τόν γ' ἀγῶν'[5] ἀκήκοας.
βλάπτειν δοκοῦσα τοὺς βίους μείζους βλάβας
f τὴν ἡλιαίαν εἶλε[6] περὶ τοῦ σώματος,
καὶ τῶν δικαστῶν καθ' ἕνα δεξιουμένη
μετὰ δακρύων διέσωσε τὴν ψυχὴν μόλις.

Ἴστε δὲ ὅτι καὶ Δημάδης ὁ ῥήτωρ ἐξ αὐλητρίδος ἑταίρας ἐπαιδοποιήσατο Δημέαν· ὃν φρυαττόμενόν ποτε ἐπὶ τοῦ βήματος ἐπεστόμισεν Ὑπερείδης[7] εἰπών· "οὐ σιωπήσῃ, μειράκιον, μεῖζον τῆς μητρὸς ἔχων τὸ φύσημα;" καὶ Βίων δ' ὁ Βορυσθενίτης φιλόσοφος ἑταίρας ἦν υἱὸς Ὀλυμπίας Λακαίνης, ὥς φησι Νικίας ὁ Νικαιεὺς ἐν ταῖς τῶν φιλοσόφων Διαδοχαῖς. Σοφοκλῆς δ' ὁ τραγῳδιοποιὸς ἤδη

[1] CE: ἀρεοπαγειτῶν A.
[2] ποσίδιππος A.
[3] Wilamowitz: πρὸ A.
[4] Casaubon: εἴη A.
[5] τόν γε ἀγῶνα A.
[6] A: εἶδε Bothe.
[7] ὑπερίδησ ACE.

woman.[a] Yet Gryllion,[b] a member of the Areopagus, played the parasite at Phrynê's board, as Satyrus,[c] the actor from Olynthus, did at Pamphila's. Aristogeiton, in the speech *Against Phrynê*, says[d] that her real name was Mnesaretê. I am not unaware that the speech against her which is ascribed to Enthias is said by Diodorus the Geographer to be by Anaximenes.[e] Now the comic poet Poseidippus says of her these words, in *The Woman from Ephesus*[f]: "Phrynê was once the most illustrious of us courtesans by far. And even though you are too young to remember that time, you must at least have heard of her trial. Although she was thought to have wrought too great injury to men's lives, she nevertheless captured the court when tried for her life, and, clasping the hands of the judges, one by one, she with the help of her tears saved her life at last."

You know, too, that the orator Demades begot Demeas from a flute-playing prostitute. Demeas, once, when proudly ranting on the platform, had his mouth stopped by Hypereides, who said[g]: "Silence, lad! You've got a 'blow' louder than your mother's." And Bion also, the philosopher from the Borysthenes, was a son of the Lacedaemonian courtesan Olympia, according to Nicias of Nicaea in his *Succession of Philosophers.*[h] Even Sophocles, the tragic poet,

[a] 567 e (p. 67).
[b] Athen. 244 f (vol. iii. p. 100).
[c] Plut. 545 E, Demosth. xix. 193, 196, Aeschin. ii. 156, O'Connor, *Actors and Acting*, pp. 429, 430. The inference is that it was less shocking for a comic actor so to behave than for an Areopagite.
[d] B. and S. ii. 310.
[e] Harpocr. s. *Εὐθίας*.
[f] Kock iii. 339.
[g] Blass[3] p. 110, Kenyon frag. 91.
[h] *F.H.G.* iv. 464; for the title *cf.* Athen. 162 e (vol. ii. p. 238), 273 d (vol. iii. p. 228).

γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας. ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησίν·

κλῦθί μευ[1] εὐχομένου, Κουροτρόφε· δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν,
ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ἰσχὺς μὲν ἀπήμβλυνται, θυμὸς[2] δὲ μενοινᾷ.

ταῦτα μέν ἐστιν ἐκ τῶν εἰς Ὅμηρον ἀναφερομένων.
b τῆς δὲ Θεωρίδος μνημονεύει λέγων ἔν τινι στασίμῳ[3] οὕτως·

φίλη γὰρ ἡ Θεωρίς.

ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ βίου, ὥς φησιν Ἡγήσανδρος, Ἀρχίππην ἠγάπησεν τὴν ἑταίραν καὶ τοῦ βίου κληρονόμον κατέλιπεν. ὅτι δὲ γηραιῷ ὄντι τῷ Σοφοκλεῖ συνῆν ἡ Ἀρχίππη, ὁ πρότερος αὐτῆς ἐραστὴς Σμικρίνης ἐρωτώμενος ὑπό τινος τί πράττει Ἀρχίππη χαριέντως ἔφη· "ὥσπερ αἱ γλαῦκες ἐπὶ τάφων[4] κάθηται."

Ἀλλὰ μὴν καὶ Ἰσοκράτης ὁ τῶν ῥητόρων αἰδημονέστατος[5] Μετάνειραν εἶχεν ἐρωμένην καὶ Λαγίσκαν,[6] ὡς Λυσίας ἱστορεῖ ἐν ταῖς Ἐπιστολαῖς.
c Δημοσθένης δ' ἐν τῷ κατὰ Νεαίρας τὴν Μετάνειραν τοῦ Λυσίου φησὶν ἐρωμένην εἶναι. ἤττητο δὲ καὶ ὁ Λυσίας Λαγίδος[7] τῆς ἑταίρας, ἧς ἔγραψεν

[1] κλῦθί μευ *Vit. Hom.* p. 15 Westerm.: κλῦέ μευ (*sic*) ACE.
[2] *Vit. Hom.*: θεῖοσ A.
[3] Casaubon: στασίμωσ A.
[4] τάφων A: τάφου CE.
[5] Schweighäuser (αἰδημονέστερος Musurus): ἀδημονέστεροσ A.
[6] καὶ Λαγίσκαν (?) Kaibel, παγκάλην Meineke, παλλακήν Dobree; καὶ καλὴν A, τὴν αὐτὴν δὲ καὶ λυσίας C.
[7] A: ἤττητο δ' ὁ λυσίας καὶ λαγίδος CE, perhaps rightly.

when he was already an old man, fell in love with Theoris the courtesan. Accordingly, he supplicated Aphroditê, reciting[a]: "Hearken unto me when I pray, Nurse of children; grant that this woman may refuse to young men the couch of dalliance, but let her find joy in old men whose temples are grey, whose powers, to be sure, are blunted, but whose spirit is keen." These verses are from the collection attributed to Homer.[b] Theoris he mentions in a certain choral ode in the following words[c]: "Verily Theoris is dear." Being in his declining years, as Hegesander says,[d] Sophocles fell in love with the courtesan Archippê and made her in his will heiress to his property. And that Sophocles was old when Archippê lived with him is proved by what her former lover Smicrines wittily said when asked what Archippê was doing: "As the owls sit upon tombs, so sits she."[e]

But another instance: even Isocrates, the most modest of the orators, kept Metaneira as his mistress, as well as Lagisca; so Lysias records in his *Letters*.[f] But Demosthenes in his speech *Against Neaera* says[g] that Metaneira was the mistress of Lysias. And Lysias was also smitten with the courtesan Lagis, a

[a] *Cf. Vit. Hom.* p. 15 Westermann. The verses, as Athenaeus says, were ascribed to Homer, not to Sophocles.

[b] *Epigr.* 12 Baumeister.

[c] *T.G.F.*[2] 296. Nauck refuses to take Θεωρίς as a proper noun, comparing Hesych. *s.* θεωρίδες· αἱ περὶ τὸν Διόνυσον Βάκχαι. But that the Alexandrians so understood it seems to be proved from Hermesianax, below, 598 d (p. 225).

[d] *F.H.G.* iv. 418.

[e] For "tomb" as an epithet of the senile see above, 580 c (p. 131).

[f] Thalheim 381, Herwerden 245.

[g] Chap. 21.

ἐγκώμιον Κέφαλος ὁ ῥήτωρ· καθάπερ καὶ Ἀλκιδάμας ὁ Ἐλαΐτης ὁ Γοργίου μαθητὴς ἔγραψεν καὶ αὐτὸς ἐγκώμιον Ναΐδος τῆς ἑταίρας. τὴν δὲ Ναΐδα ταύτην Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος ὁ λόγος, ἐρωμένην φησὶ γενέσθαι Φιλωνίδου γράφων ὧδε· "ἔστιν οὖν γυνὴ ἑταίρα Ναῖς ὄνομα, ἧς Ἀρχίας κύριός ἐστιν, ὁ δ' Ὑμέναιος ἐπιτήδειος, ὁ Φιλωνίδης δ' ἐρᾶν φησιν." μνημονεύει αὐτῆς καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ.
d μήποτε δὲ κἀν τῷ Πλούτῳ ἐν ᾧ λέγει·

ἐρᾷ δὲ Λαῖς οὐ διὰ σὲ Φιλωνίδου;

γραπτέον Ναῖς καὶ οὐ Λαῖς. Ἕρμιππος δ' ἐν τῷ περὶ Ἰσοκράτους προβαίνοντά φησι τῇ ἡλικίᾳ τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δ' αὐτῆς Στράττις ἐν τούτοις·

καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι,
τόν τ' αὐλοτρύπην αὐτὸν εἶθ' ἥκειν ταχύ.[1]

e καὶ Λυσίας δ' ἐν τῷ κατὰ Λαΐδος, εἰ γνήσιος ὁ λόγος, μνημονεύει αὐτῆς, καταλέγων καὶ ἄλλας ἑταίρας ἐν τούτοις· "Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη ἔτι[2] νέα οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια καὶ Ἀριστόκλεια."

[1] εἶθ' ἥκειν ταχύ added by Sauppe (*cf. Vit. Isocr.* p. 256 Westerm).
[2] ἔτι 586 e: καὶ ἔτι A.

---

[a] B. and S. ii. 217.
[b] B. and S. ii. 155. Elaea was in Aeolis.
[c] Thalheim 375.

eulogy of whom was written by the orator Cephalus [a]; similarly Alcidamas of Elaea, the pupil of Gorgias, wrote [b] in his turn a eulogy of the courtesan Naïs. As to this Naïs, Lysias in the speech *Against Philonides*, an action for forcible rescue, if the speech be genuine, says that she became the mistress of Philonides; he writes as follows [c]: "There is, then, a woman named Naïs, a courtesan, whose guardian is Archias, whose intimate is Hymenaeus, and whom Philonides admits he loves." Aristophanes mentions her in his *Gerytades*.[d] And perhaps also in *Plutus*, in which play he says, "Is it not because of you [e] that Laïs loves Philonides?" we should write Naïs, and not Laïs. Hermippus, in his work *On Isocrates*, says [f] that Isocrates, when considerably advanced in years, took the courtesan Lagisca into his house, and from her there was born to him a daughter. She is mentioned by Strattis in these lines [g]: "Methought I saw Lagisca, Isocrates' concubine, tickling me while she was still in bed, and then the flute-borer himself came in with a rush." [h] Lysias also, in the speech *Against Laïs*, if it be genuine, mentions her in giving a list of other courtesans besides; here are his words [i]: "Philyra, at least, ceased whoring when still a young woman, and so also did Scionê, Hippaphesis, Theocleia, Psamathê, Lagisca, Antheia, and Aristocleia."

[a] Kock i. 433, Aristoph. *Plut.* 179, where the schol. have Λαΐς. Blass, *Att. Bereds.*[2] i. 355.

[b] Plutus, *i.e.* wealth.

[c] *F.H.G.* iii. 49.

[d] Kock i. 712.

[e] *Vit. Isocr.* 256 Westerm. gives a different text. The father of Isocrates was a manufacturer of flutes, whence he himself is contemptuously called a flute-borer (*sens. obsc.*). See [Plut.] *X Orat.* 836 E.

[f] Above, 586 e (p. 162), Thalheim 365.

Δημοσθένη δὲ τὸν ῥήτορα καὶ τεκνοποιήσασθαι ἐξ ἑταίρας ἔχει λόγος. αὐτὸς γοῦν ἐν τῷ περὶ Χρυσίου[1] λόγῳ προαγήοχε[2] τὰ τέκνα ἐπὶ τὸ δικαστήριον ὡς δι' ἐκείνων ἔλεον ἕξων χωρὶς τῆς μητρός, καίτοι ἔθος ἐχόντων τῶν κρινομένων τὰς
f γυναῖκας ἐπάγεσθαι· ἀλλ' αἰδοῖ τοῦτ'[3] ἐποίησεν, φεύγων τὴν διαβολήν. ἀκόλαστος δ' ἦν ὁ ῥήτωρ περὶ τὰ ἀφροδίσια, ὥς φησιν Ἰδομενεύς. Ἀριστάρχου γοῦν τινος ἐρασθεὶς μειρακίου καὶ δι' αὐτὸν[4] παροινήσας εἰς Νικόδημον ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς. παραδέδοται δὲ καὶ περὶ ὄψα καὶ περὶ νέους καὶ περὶ γυναῖκας πολυτελής.[5] τοιγαροῦν καὶ ὁ γραμματεύς ποτ' αὐτοῦ[6] εἶπε·
593 "τί δ' ἄν τις περὶ Δημοσθένους λέγειν δύναιτο; τὰ γὰρ ἐνιαυτῷ μελετηθέντα ἐκείνῳ μία γυνὴ μιᾷ νυκτὶ συνέχεεν." ἀναλαβεῖν γοῦν καὶ εἰς τὴν οἰκίαν λέγεταί τινα Κνωσίωνα μειρακίσκον, καίτοι γυναῖκα ἔχων· ὡς καὶ αὐτὴν ἀγανακτήσασαν συγκοιμᾶσθαι τῷ Κνωσίωνι.

Μυρρίνην δὲ τὴν Σαμίαν ἑταίραν Δημήτριος εἶχεν ὁ βασιλεὺς ὁ τῆς διαδοχῆς τελευταῖος καὶ ἔξω τοῦ διαδήματος κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς φησιν Νικόλαος ὁ Δαμασκηνός. Πτολεμαῖός τε

[1] CE: χρυσειου A.
[2] E: προαγείοχε A, -αγίοχε C.
[3] τοῦτ' ACE: τοῦτ' οὐκ (?) Kaibel.
[4] Kaibel: αὐτὸ AE Schol. Aeschin. p. 37 Turn.
[5] Musurus: πολυτελεῖσ A, corrected in margin.
[6] E: αὐτοῦσ A, αὐτοῦ in margin.

[a] B. and S. ii. 251; the speech answered the charge that he had been bribed by Harpalus; below, p. 205.
[b] *F.H.G.* ii. 492. On Aristarchus see Demosth. *Mid.* 104, Aeschin. *Tim.* 171, Deinarchus, *contra Dem.* 30.

That the orator Demosthenes had children by a courtesan is common report. He himself, at any rate, in the course of his speech *On the Bribe of Gold*,[a] brought the children out before the court to excite compassion through them, unaccompanied by their mother, although it was customary for defendants in a trial, if they had wives, to produce them; but this he did from shame, to avoid the scandal. The orator was unbridled in sexual matters, according to Idomeneus.[b] At any rate, having fallen in love with a lad named Aristarchus, because of him he attacked Nicodemus in a drunken fit and gouged out his eyes. It is a well-known tradition that he spent money lavishly on dainty foods, young boys, and women. Hence his clerk[c] once said: "What can one say of Demosthenes? For all that it has taken him a year of industry to acquire, one woman in one night has spoilt completely." He is said, at any rate, to have taken even into his house a young lad named Cnosion, although he had a wife; she, in turn, lay with Cnosion to show her resentment.[d]

Myrrhinê, the Samian courtesan, was kept by Demetrius, the one who was the last king of the succession[e]; and though he did not give her the crown, he gave her a share in his royal state, according to Nicolaüs of Damascus.[f] And Ptolemy, the one who

[c] Or "keeper of his accounts," possibly the same as *οἰκονόμος*, house-steward.

[d] This is a replica of the gossip about Euripides and Cephisophon, repeated Schol. Aeschin. ii. 149; see *B.P.W.* 1924, 307; Drerup, *Demosth.* 64. The wife had legal redress in such cases.

[e] Following Alexander. D. Poliorcetes, son of Antigonus, is meant; above, 577 c-d, 578 a (pp. 117-121).

[f] *F.H.G.* iii. 414, J. 2 A 380, P.-W. i. 2456.

ὁ τὴν ἐν Ἐφέσῳ διέπων φρουρὰν υἱὸς ὢν τοῦ
b Φιλαδέλφου βασιλέως Εἰρήνην εἶχε τὴν ἑταίραν,
ἥτις ὑπὸ Θρᾳκῶν ἐν Ἐφέσῳ ἐπιβουλευομένου τοῦ
Πτολεμαίου καὶ καταφυγόντος εἰς τὸ τῆς Ἀρτέ-
μιδος ἱερὸν συγκατέφυγεν· καὶ ἀποκτεινάντων
αὐτὸν ἐκείνων ἡ Εἰρήνη ἐχομένη τῶν ῥόπτρων τῶν
θυρῶν τοῦ ἱεροῦ ἔρραινεν[1] τοῦ αἵματος τοὺς
βωμούς,[1] ἕως καὶ αὐτὴν κατέσφαξαν. Δανάην[2] δὲ
τὴν Λεοντίου τῆς Ἐπικουρείου[3] θυγατέρα ἑταιρι-
ζομένην καὶ αὐτὴν Σώφρων εἶχεν ὁ ἐπὶ τῆς
Ἐφέσου· δι' ἣν αὐτὸς μὲν ἐσώθη ἐπιβουλευόμενος
ὑπὸ Λαοδίκης, ἡ δὲ κατεκρημνίσθη, ὡς γράφει
c Φύλαρχος διὰ τῆς δωδεκάτης λέγων[4] τάδε· "ἡ πάρ-
εδρος τῆς Λαοδίκης Δανάη, πιστευομένη ὑπ' αὐτῆς
τὰ πάντα, Λεοντίου δ' οὖσα τῆς μετ' Ἐπικούρου τοῦ
φυσικοῦ σχολασάσης θυγάτηρ, Σώφρονος δὲ γε-
γονυῖα πρότερον ἐρωμένη, παρακολουθοῦσα διότι
ἀποκτεῖναι βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη
διανεύει τῷ Σώφρονι, μηνύουσα τὴν ἐπιβουλήν.
ὁ δὲ συλλαβὼν καὶ προσποιηθεὶς συγχωρεῖν περὶ
ὧν λέγει δύ' ἡμέρας παρῃτήσατο εἰς σκέψιν· καὶ
συγχωρησάσης νυκτὸς ἔφυγεν εἰς Ἔφεσον. μα-
θοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιηθὲν ὑπὸ τῆς Δανάης
d κατεκρήμνισεν τὴν ἄνθρωπον, οὐδὲν τῶν προ-
γεγενημένων φιλανθρώπων ἐπὶ νοῦν βαλομένη.[5]
τὴν δὲ Δανάην φασίν, ὡς ᾔσθετο τὸν ἐπηρτημένον

[1] Cobet: ἔρραινεν . . . τοῖς βωμοῖσ A, ἐπέρραινεν Kaibel (ἐνέρραινεν Dobree).
[2] δάναϊν A.
[3] ἐπικουρίου A.
[4] λέγων added by Meineke.
[5] Casaubon: ἐπισυμβαλομένη A.

commanded a guard at Ephesus,[a] a son of King Philadelphus, kept the courtesan Eirenê; she, when Thracians in Ephesus plotted against Ptolemy and he took refuge in the temple of Artemis, shared in the flight; and after they had killed him she, clinging to the knockers of the temple doors, splashed the altars with her blood until they had despatched her also. Again, Danaë,[b] the daughter of the Epicurean Leontion,[c] was a courtesan kept by Sophron, the commandant at Ephesus; it was through her that he himself was saved when plotted against by Laodicê, while she was thrown down a precipice, as Phylarchus writes in his twelfth book. His words are these[d]: "Laodicê's associate was Danaë, trusted by her in all matters; she was the daughter of Leontion, who studied under Epicurus, the natural philosopher, and had previously been the mistress of Sophron; when she understood that Laodicê wanted to kill Sophron, she by nods and gestures disclosed the plot. And he, catching her meaning, pretended to agree to Laodicê's proposals, but asked for two days in which to consider them; and when she agreed, he fled by night to Ephesus; when Laodicê learned what Danaë had done, she threw the poor woman over a precipice, taking no thought whatever of past acts of kindness. And they say that Danaë, on perceiving the danger

[a] Bevan, *House of Seleucus* i. 174. This Ptolemy was a son of Philadelphus and a concubine; above, 576 e (p. 113).

[b] On mythological names given to historical persons see Lehrs, *Aristarch. Stud. Hom.*[3] 269, who gives other instances from Athenaeus.

[c] Above, 585 d (p. 157); for female Epicureans see Usener, *Epic.*[2] (1887) 408 *s.* Θεμίστα and 411 *s.* Λεόντιον, Cic. *Nat. Deor.* i. 93.

[d] *F.H.G.* i. 339, J. 2 A 168. See Bevan, *op. cit.* i. 187.

αὐτῇ κίνδυνον, ἀνακρινομένην ὑπὸ τῆς Λαοδίκης οὐδ' ἀποκρίσεως αὐτὴν ἀξιῶσαι· ἀπαγομένην τε ἐπὶ τὸν κρημνὸν εἰπεῖν ὡς δικαίως οἱ πολλοὶ καταφρονοῦσι τοῦ θείου, ὅτε 'ἐγὼ μὲν τὸν γενόμενόν μοι ἄνδρα σώσασα τοιαύτην χάριτα παρὰ τοῦ δαιμονίου λαμβάνω, Λαοδίκη δὲ τὸν ἴδιον ἀποκτείνασα τηλικαύτης[1] τιμῆς ἀξιοῦται.'" ὁ δ'
e αὐτὸς Φύλαρχος καὶ περὶ Μύστας[2] ἱστορεῖ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ οὕτως· "Μύστα Σελεύκου τοῦ βασιλέως ἐρωμένη ἦν· ἥτις ὑπὸ Γαλατῶν Σελεύκου νικηθέντος καὶ μόλις ἐκ τῆς φυγῆς διασωθέντος αὐτὴ μεταμφιεσαμένη[3] τὴν βασιλικὴν ἐσθῆτα καὶ ῥάκια λαβοῦσα[4] θεραπαινίδος τῆς τυχούσης συλληφθεῖσα ἀπήχθη[5] μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ πραθεῖσα ὁμοίως ταῖς ἑαυτῆς θεραπαινίσιν ἦλθεν εἰς Ῥόδον· ἔνθα ἐκφήνασα ἑαυτὴν ἥτις ἦν περισπουδάστως ὑπὸ τῶν Ῥοδίων τῷ Σελεύκῳ διεπέμφθη."

Δημήτριος δ' ὁ Φαληρεὺς Λαμπιτοῦς τῆς Σαμίας
f ἑταίρας ἐρασθεὶς ἡδέως δι' αὐτὴν[6] καὶ Λαμπιτὼ προσηγορεύετο,[7] ὥς φησι Δίυλλος· ἐκαλεῖτο δὲ καὶ Χαριτοβλέφαρος. Νικαρέτη δὲ ἡ ἑταίρα ἐρωμένη ἦν Στεφάνου τοῦ ῥήτορος, Λυσίου δὲ τοῦ σοφιστοῦ Μετάνειρα. ἦσαν δὲ αὗται δοῦλαι Κασίου[8] τοῦ

[1] τιλικαύτησ A. [2] A: Μύστης Kaibel.
[3] μεταμφιασαμένη CE; so Polyaen. viii. 61.
[4] Kaibel: καὶ ἀναλαβοῦσα A.
[5] Meineke: ἀνήχθη ACE.
[6] δι' αὐτὴν Jacobs: δ' αὐτὴν A.
[7] Jacobs: προσηγόρευτο A.
[8] Χαρισίου c. *Neaer.* 18.

[a] *F.H.G.* i. 341, J. 2 A 169.

that impended over her, though rigorously questioned by Laodicê, did not even think her worthy of an answer; and as she was led away to the precipice she said it was no wonder that most men made light of divine power, seeing that 'I, she said, saved him who was once my man, and yet receive such a requital from the deity, whereas Laodicê, after killing her own man, is thought worthy of such great honour.'" The same Phylarchus records the following concerning Mysta in his fourteenth book[a]: "Mysta was the mistress of King Seleucus[b]; she, when Seleucus had been defeated by the people of Galatia and had barely escaped from the rout with his life, took off her royal garments, and put on the rags of an ordinary maidservant; she was captured and led off with the other prisoners, and on being sold just as were her own maidens she came to Rhodes; there, having revealed who she was, she was sent with all due care by the Rhodians across to Seleucus."

Demetrius of Phalerum, who was in love with Lampitô, the Samian courtesan, was for her sake quite content to be called Lampitô, as Diÿllus declares[c]; he was also called Pretty Eyes.[d] Nicaretê the courtesan was the mistress of the orator Stephanus, and Metaneira of the sophist Lysias.[e] These women were slaves, belonging to Casius of Elis, along with

[b] Above, 578 a (p. 121).

[c] *F.H.G.* ii. 361, J. 2 A 132. This paragraph (to 594 b) is regarded by Kaibel as spurious, being taken from Diog. Laert. v. 76 (who, however, cites Didymus, not Diÿllus) and from the speech against Neaera.

[d] Lit. "with eyelids such as the Charites (Graces) had." Lampitô means "The Radiant Woman."

[e] Above, 592 b-c (p. 193). For Stephanus see *c. Neaer.* 10. Nicaretê was the lena who kept Neaera.

Ἠλείου μετὰ καὶ ἄλλων ἑταιρῶν, Ἀντείας, Στρατόλας, Ἀριστοκλείας, Φίλας, Ἰσθμιάδος, Νεαίρας. ἡ δὲ Νέαιρα ἦν[1] ἐρωμένη Ξενοκλείδου τοῦ ποιητοῦ καὶ Ἱππάρχου τοῦ ὑποκριτοῦ καὶ Φρυνίωνος τοῦ Παιανιέως, ὃς ἦν Δήμωνος μὲν υἱός, Δημοχάρους δὲ ἀδελφιδοῦς. τὴν δὲ Νέαιραν εἶχον ἡμέραν παρ' ἡμέραν, διαιτητῶν γενομένων φίλων, Φρυνίων καὶ
594 Στέφανος ὁ ῥήτωρ· ὃς καὶ τὴν τῆς Νεαίρας θυγατέρα Στρυμβήλην[2] τὴν ὕστερον Φανὼ κληθεῖσαν ὡς ἰδίαν θυγατέρα ἐξέδοτο Φράστορι τῷ Αἰγιλιεῖ,[3] ὥς φησι Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ὃς καὶ περὶ Σινώπης τῆς ἑταίρας τάδε λέγει· "Ἀρχίαν τὸν ἱεροφάντην ἐξελεγχθέντα ἐν τῷ δικαστηρίῳ ὡς ἀσεβοῦντα καὶ θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας ἐκολάσατε· καὶ ἄλλα τε κατηγορήθη αὐτοῦ καὶ ὅτι
b Σινώπῃ τῇ ἑταίρᾳ Ἁλῴοις ἐπὶ τῆς ἐσχάρας τῆς ἐν τῇ αὐλῇ Ἐλευσῖνι προσαγούσῃ[4] ἱερεῖον θύσειεν, νομίμου ὄντος ἐν ταύτῃ τῇ ἡμέρᾳ ἱερεῖα μὴ θύειν, οὐδὲ ἐκείνου οὔσης τῆς θυσίας, ἀλλὰ τῆς ἱερείας."

Διαβόητος δ' ἑταίρα γέγονε καὶ ἡ Μιλησία Πλαγγών· ἧς περικαλλεστάτης οὔσης ἠράσθη τις Κολοφώνιος νεανίσκος, Βακχίδα ἔχων ἐρωμένην τὴν Σαμίαν. λόγους οὖν προσενέγκαντος τοῦ νεανίσκου πρὸς αὐτὴν ἡ Πλαγγὼν ἀκούουσα τῆς

[1] στρατοκλείδου (the scribe's doublet of Ξενοκλείδου) after ἦν deleted by Kaibel.
[2] A: Στρυβήλην c. *Neaer.* 50.
[3] φάστορι τῶι αἰγιαλεῖ A.
[4] c. *Neaer.* 116: προσαγούσησ A.

[a] Above, 587 e (p. 169).
[b] On Demochares, nephew of Demosthenes, see Athen. 252 f (vol. iii. p. 138), 508 f (vol. v. p. 286).
[c] In c. *Neaer.* 46 it is said that the two were reconciled by

other courtesans, Anteia, Stratola, Aristocleia, Phila, Isthmias,[a] and Neaera. Now Neaera was the mistress of Xenocleides the poet, of Hipparchus the actor, and of Phrynion, who came from the deme Paeania and was the son of Demôn and nephew of Demochares.[b] Neaera was possessed on alternate days by Phrynion and the orator Stephanus, their friends having acted as arbitrators in the matter[c]; and Neaera's daughter Strymbêlê, later called Phanô, was given in marriage by Stephanus, as though she were his own daughter, to Phrastor of the deme Aegilia as Demosthenes declares[d] in the speech *Against Neaera*. He has this to say also about the courtesan Sinopê[e]: "You punished Archias the hierophant when he was convicted in court of impiety and of offering sacrifices in a manner contrary to ancestral ritual; among other accusations brought against him was this, that at the Haloa[f] he sacrificed a victim, brought by the courtesan Sinopê, and in her behalf, on the altar in the court at Eleusis, although it was by law forbidden to sacrifice a victim on that particular day, and the offering of the sacrifice was not his business, but that of the priestess."

A celebrated courtesan, also, was Plangôn[g] of Miletus; she was of extraordinary beauty, and loved by a Colophonian lad, who had as mistress Bacchis of Samos. When the lad made proposals to Plangôn,

arbitrators, whence Peppink proposes to insert *τῶν* before *φίλων*. Less probable is Kaibel's conjecture, *ὑπὸ διαιτητῶν γενόμενοι φίλοι*, "having become friends through the mediation of arbitrators."

[d] Ps.-Demosth. lix. 50. On the deme Aegilia see p. 526, note *b*.

[e] *Ibid.* 116.

[f] Nilsson, *Griech. Feste*, 328-329.

[g] Above, 558 b (p. 17), 567 e (p. 67).

Βακχίδος τὸ κάλλος καὶ ἀποτρέψαι θέλουσα τὸν νεανίσκον τοῦ πρὸς αὐτὴν ἔρωτος, ὡς ἀδύνατον ἦν, ἤτησε τῆς συνουσίας μισθὸν τὸν Βακχίδος ὅρμον
c διαβόητον ὄντα. ὁ δὲ[1] σφοδρῶς ἐρῶν ἠξίωσε τὴν Βακχίδα μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον. καὶ ἡ Βακχὶς τὴν ὁρμὴν κατιδοῦσα τοῦ νεανίσκου, ἔδωκε. Πλαγγὼν δὲ τὸ ἄζηλον συνιδοῦσα τῆς Βακχίδος τὸν μὲν ἀπέπεμψεν ἐκείνῃ, τῷ δὲ ὡμίλησε. καὶ τοῦ λοιποῦ φίλαι ἐγένοντο, κοινῶς περιέπουσαι τὸν ἐραστήν. ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μενέτωρ ἐν τῷ περὶ Ἀναθημάτων, Πασιφίλαν ἐκάλεσαν τὴν Πλαγγόνα. μαρτυρεῖ δὲ καὶ Ἀρχί-
d λοχος περὶ αὐτῆς ἐν τούτοις·

συκῆ πετραίη πολλὰς[2] *βόσκουσα κορώνας,*
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

ὅτι δὲ καὶ Μένανδρος ὁ ποιητὴς ἤρα Γλυκέρας κοινόν· ἐνεμεσήθη δέ. Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος καὶ χρηστὴν ταύτην ὀνομάσαντος διὰ τοῦ δράματος, ἀντέγραψεν Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς.

Ἅρπαλος δ' ὁ Μακεδὼν ὁ τῶν Ἀλεξάνδρου πολλὰ
e χρημάτων συλήσας καὶ καταφυγὼν εἰς Ἀθήνας ἐρασθεὶς Πυθιονίκης πολλὰ εἰς αὐτὴν κατανάλωσεν[3] ἑταίραν οὖσαν· καὶ ἀποθανούσῃ πολυτάλαντον μνημεῖον κατεσκεύασεν· " ἐκφέρων τε αὐτὴν ἐπὶ τὰς

[1] Kaibel: τε A. [2] CE: παλλὰς A.
[3] A: κατηνάλωσεν CE, κατανήλωσεν (?) Kaibel.

---

[6] *F.H.G.* iv. 452. [5] " Dear-to-all."

she, hearing of the beauty of Bacchis and wishing to divert the lad from his passion for herself, demanded, since that proved impossible, the necklace of Bacchis as the price of an assignation, the necklace being celebrated. And he being passionately in love entreated Bacchis not to permit him to die. So Bacchis, when she saw the young man's eagerness, gave him the necklace. But Plangôn, seeing the unselfishness of Bacchis, sent the necklace back to her, and consorted with the young man. And from that time on the girls were friends, entertaining their lover in common. In admiration of these acts the Ionians, according to Menetor in his work *On Votive Offerings*,[a] called Plangôn Pasiphilê.[b] Archilochus is a witness to her[c] in these lines[d]: "Like a fig-tree among the rocks, which feeds many crows, Pasiphilê of easy virtue welcomes strangers." That the poet Menander, also, was in love with Glycera is a matter of common knowledge. But he became angry at her; for when Philemon fell in love with a courtesan and called[e] her in his play "good," Menander in answer wrote that no woman is good.[f]

Harpalus, the Macedonian who plundered large sums from Alexander's funds and then sought refuge in Athens, fell in love with Pythionicê and squandered a great deal on her, though she was a courtesan; and when she died he erected a monument to her costing many talents. "And so, when he bore her to the

[b] Rather, to the name Pasiphila ("friendly to all"), which Archilochus was the first to use. Bergk thought that Archilochus might be a mistake for Antilochus.

[d] *P.L.G.*[4] ii. 388, Diehl frag. 15, Edmonds, *El. and Iambus* (L.C.L.) ii. 106; see P.-W. ii. 497. Συκῆ πετραίη is possibly reminiscent of Scylla, Σκύλλη πετραίη, *Od.* xii. 231.

[e] Kock ii. 534.

[f] Kock iii. 244.

ταφάς, ὥς φησι Ποσειδώνιος[1] ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, τεχνιτῶν τῶν ἐπισημοτάτων χορῷ μεγάλῳ καὶ παντοίοις ὀργάνοις καὶ εὐφωνίαις[2] παρέπεμπε τὸ σῶμα." Δικαίαρχος δ' ἐν τοῖς περὶ τῆς εἰς Τροφωνίου[3] Καταβάσεώς
f φησι· "ταὐτὸ δὲ πάθοι τις ἂν ἐπὶ τὴν Ἀθηναίων πόλιν ἀφικνούμενος κατὰ τὴν[4] ἀπ' Ἐλευσῖνος τὴν ἱερὰν ὁδὸν καλουμένην. καὶ γὰρ ἐνταῦθα καταστὰς οὗ ἂν φανῇ[5] τὸ πρῶτον ὁ τῆς Ἀθηνᾶς[6] ἀφορώμενος νεὼς καὶ τὸ πόλισμα, ὄψεται παρὰ τὴν ὁδὸν αὐτὴν ᾠκοδομημένον μνῆμα οἷον οὐχ ἕτερον οὐδὲ σύνεγγυς οὐδέν ἐστι τῷ μεγέθει. τοῦτο δὲ τὸ μὲν πρῶτον, ὅπερ εἰκός, ἢ Μιλτιάδου φήσειεν[7] ἄν[8] σαφῶς ἢ Περικλέους ἢ Κίμωνος ἤ τινος ἑτέρου τῶν ἀγαθῶν
595 ἀνδρῶν εἶναι, καὶ[9] μάλιστα μὲν ὑπὸ τῆς πόλεως δημοσίᾳ κατεσκευασμένον, εἰ δὲ μή, δεδομένον[10] κατασκευάσασθαι. πάλιν δ' ὅταν ἐξετάσῃ Πυθιονίκης τῆς ἑταίρας ὄν, τίνα[11] χρὴ προσδοκίαν λαβεῖν αὐτόν;" Θεόπομπος δ' ἐν τῇ πρὸς Ἀλέξανδρον Ἐπιστολῇ τὴν Ἁρπάλου διαβάλλων ἀκολασίαν φησίν· "ἐπίσκεψαι δὲ καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος ὃν τρόπον Πυθιονίκην περιέστειλεν τελευτήσασαν. ἡ Βακχίδος μὲν ἦν δούλη τῆς αὐλητρίδος, ἐκείνη δὲ Σινώπης τῆς Θρᾴττης τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν πορ-

[1] ποσειδώνιοσ A.
[2] εὐφωνίαισ A: συμφωνίαις Casaubon, Kaibel.
[3] τροφωνειου A.
[4] Jacobs: καὶ ταύτην A.
[5] Valckenaer: ᾖ A.
[6] ὁ τῆς Ἀθηνᾶς Meineke: εἰσ Ἀθήνασ A.
[7] CE: φήσειε A.
[8] ἂν added by Kaibel.
[9] καὶ added by Kaibel.
[10] B (corrected from δεδογμένον): δεδογμένον A
[11] ὄν, τίνα Cobet, Kaibel: ὄντινα A.

place of burial," as Poseidonius declares[a] in the twenty-second book of his *Histories*, "he escorted the corpse with a large choir of the most distinguished artists, with all kinds of instruments and sweet tones."[b] And Dicaearchus, in his books *On the Descent into the Cave of Trophonius*, says[c]: "One would feel the same when going up to the city of Athens by way of the Sacred Road, as it is called, from Eleusis. For there, stationing himself at the point from which the temple of Athena and the citadel are first seen in the distance, he will observe a monument, built right beside the road, the like of which, in its size, is not even approached by any other. One would naturally declare quite positively, at first, that this was a monument to Miltiades, or Pericles, or Cimon, or some other man of noble rank and character and, in particular, that it had been erected by the state at public expense or, failing that, that permission to erect it had been given by the state. But when, on again looking, one discovers that it is a monument to Pythionicê the courtesan, what must one be led to expect?" Again, Theopompus, when denouncing in his *Letter to Alexander* the licentiousness of Harpalus, says[d]: "Consider and learn clearly from our agents in Babylon how he ordered the funeral of Pythionicê when she died. She, to be sure, was a slave of the flute-girl Bacchis, who in turn was a slave of the Thracian woman Sinopê, who had transferred her

[a] *F.H.G.* iii. 259, J. 2 A 229.

[b] Or, reading *συμφωνίαις* "playing in concord," *i.e.* the overtones of the several instruments mingling harmoniously.

[c] *F.H.G.* ii. 266; *cf.* Plut. *Phoc.* 22, Paus. i. 37, Frazer, *Paus.* ii. 495. Dicaearchus here writes as a moralist attacking the vulgarity which he describes.

[d] *F.H.G.* i. 325, J. 2 B 590, G. and H. 244.

b νείαν· ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον, ἀλλὰ καὶ τρίπορνον αὐτήν. ἀπὸ πλειόνων δὲ ταλάντων ἢ διακοσίων δύο μνήματα κατεσκεύασεν αὐτῆς· ὃ καὶ πάντες ἐθαύμαζον, ὅτι τῶν μὲν ἐν Κιλικίᾳ τελευτησάντων ὑπὲρ τῆς σῆς βασιλείας καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας οὐδέπω νῦν οὔτε ἐκεῖνος οὔτ' ἄλλος οὐδεὶς τῶν ἐπιστατῶν κεκόσμηκε τὸν τάφον, Πυθιονίκης δὲ τῆς ἑταίρας φανήσεται τὸ μὲν Ἀθήνησιν,[1] τὸ δ' ἐν Βαβυλῶνι μνῆμα πολὺν ἤδη
c χρόνον ἐπιτετελεσμένον. ἦν γὰρ πάντες ἤδεσαν κοινῆς[2] δαπάνης κοινὴν τοῖς βουλομένοις γιγνομένην, ταύτης ἐτόλμησεν ὁ φίλος εἶναι σοῦ φάσκων ἱερὸν καὶ τέμενος ἱδρύσασθαι καὶ προσαγορεῦσαι τὸν ναὸν καὶ τὸν βωμὸν Πυθιονίκης Ἀφροδίτης, ἅμα τῆς τε παρὰ θεῶν τιμωρίας καταφρονῶν καὶ τὰς σὰς τιμὰς προπηλακίζειν ἐπιχειρῶν." μνημονεύει τούτων καὶ Φιλήμων ἐν Βαβυλωνίῳ·

βασίλισσ' ἔσῃ[3] Βαβυλῶνος, ἂν οὕτω τύχῃ·
τὴν Πυθιονίκην οἶσθα καὶ τὸν Ἅρπαλον.

d μνημονεύει δ' αὐτῆς καὶ Ἄλεξις ἐν Λυκίσκῳ.

Μετὰ δὲ τὴν Πυθιονίκης τελευτὴν ὁ Ἅρπαλος Γλυκέραν μετεπέμψατο καὶ ταύτην ἑταίραν, ὡς ὁ Θεόπομπος ἱστορεῖ, φάσκων ἀπειρηκέναι τὸν Ἅρπαλον μὴ στεφανοῦν ἑαυτόν, εἰ μή τις στεφανώσειε καὶ τὴν πόρνην. "ἔστησέν τε εἰκόνα χαλκῆν τῆς Γλυκέρας ἐν Ῥωσσῷ[4] τῆς Συρίας, οὗπερ καὶ σὲ καὶ αὐτὸν[5] ἀνατιθέναι μέλλει.[6] παρέδωκέν τε αὐτῇ

[1] ἀθήνησιν A. [2] ὁλίγης Wilamowitz.
[3] Bentley: βασιλίσσαισ ἢ A.
[4] 586 c: ἐνερασσωι A. [5] Meineke: ἀυτὸν A.
[6] Casaubon: μέλλειν A.

practice of harlotry from Aegina to Athens; hence Pythionicê was not only triply a slave, but also triply a harlot. Now, with the sum of more than two hundred talents he erected two monuments to her; the thing that surprised everyone is this, that whereas for the men who died in Cilicia defending your kingdom and the liberty of Greece neither he nor anyone else among the officials has as yet erected a proper tomb, for the courtesan Pythionicê the monument at Athens and the other in Babylon have already stood completed a long time. Here was a woman who, as everybody knew, had been shared by all who desired her at the same price for all, and yet for this woman he who says he is your friend dared set up a shrine and a sacred enclosure and has called the temple and the altar by the name of Aphroditê Pythionicê, by one and the same act showing his contempt for the vengeance of the gods and endeavouring to heap insult on the offices you bestow." These persons are also mentioned by Philemon in *The Man of Babylon* [a]: "You shall be queen of Babylon, if luck so falls; you have heard of Pythionicê and Harpalus." And Alexis also mentions her in *Lycaiscus*.[b]

And yet, after the death of Pythionicê Harpalus sent for Glycera, who was also a courtesan, to come to him, as Theopompus records,[c] adding that Harpalus forbade anyone to offer him a crown unless he crowned this harlot also. "Further, he has set up a bronze portrait of Glycera in Rhossus, Syria, where he purposes to rear a monument to you [d] and to himself.

[a] Kock ii. 482, *cf.* Diodor. xvii. 108.
[b] Or "Little Wolf"; Kock ii. 347.
[c] *F.H.G.* i. 325, J. 2 B 590, G. and H. 245, above, 586 c (p. 161, note *h*).
[d] Alexander.

κατοικεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ καὶ περιορᾷ[1] ὑπὸ τοῦ λαοῦ προσκυνουμένην καὶ βασίλισσαν προσαγορευομένην καὶ ταῖς ἄλλαις δωρεαῖς
e τιμωμένην, αἷς πρέπον ἦν τὴν σὴν μητέρα καὶ τὴν σοὶ συνοικοῦσαν." συνεπιμαρτυρεῖ δὲ τούτοις καὶ ὁ τὸν Ἀγῆνα τὸ σατυρικὸν δραμάτιον γεγραφώς, ὅπερ ἐδίδαξεν Διονυσίων ὄντων ἐπὶ τοῦ Ὑδάσπου ποταμοῦ,[2] εἴτε Πύθων ἦν ὁ Καταναῖος ἢ[3] Βυζάντιος ἢ καὶ αὐτὸς ὁ βασιλεύς. ἐδιδάχθη δὲ τὸ δρᾶμα ἤδη φυγόντος τοῦ Ἁρπάλου ἐπὶ θάλατταν καὶ ἀποστάντος. καὶ τῆς μὲν Πυθιονίκης ὡς τεθνηκυίας μέμνηται, τῆς δὲ Γλυκέρας ὡς οὔσης παρ'
f αὐτῷ καὶ τοῖς Ἀθηναίοις αἰτίας γινομένης τοῦ δωρεὰς λαμβάνειν παρὰ Ἁρπάλου, λέγων ὧδε·

ἔστιν δ', ὅπου μὲν ὁ κάλαμος πέφυχ' ὅδε,[4]
ὀχύρωμ' Ἄορνον.[5] οὐξ ἀριστερᾶς δ' ὅδε
πόρνης ὁ κλεινὸς ναός,[6] ὃν δὴ Παλλίδης[7]
τεύξας κατέγνω διὰ τὸ πρᾶγμ' αὐτοῦ φυγήν.
ἐνταῦθα δὴ τῶν βαρβάρων τινὲς μάγοι
ὁρῶντες αὐτὸν παγκάκως[8] διακείμενον

[1] Gulick: ὁρᾶι A, καθάπερ θεὰν ὁρᾷ Kaibel.
[2] ποταμοῦ Kaibel: τοῦ ποταμοῦ A.
[3] ἢ 50 f: ἢ ὁ A.
[4] πέφυκε· ὁδ' e. A.
[5] ὀχύρωμ' Ἄορνον Gulick: φετωμα ορνον A, φάτνωμ' ἄορνον Fiorillo, ἕλωμ' ἄορνον Meineke, φίτευμ' (rather φύτευμ') Lumb.
[6] Casaubon: λαόσ A.
[7] Φαλλίδης Meineke, Olivieri.
[8] Jacobs: παγκάλωσ A.

[a] Above, 586 d (p. 163), Diodor. xvii. 108.
[b] The writer seems by this alternative to identify (wrongly) Python of Catana with the orator Python of Byzantium, for whom see Athen. 550 f (vol. v. p. 498); *cf.* Olivieri, *Accad. arch. Nap.* xii. pp. 93-107.
[c] 325 or 324 B.C.; but Olivieri *op. cit.* p. 105 places the

More, he has given her the privilege of residing in the royal palace at Tarsus, and permits her to be worshipped by the people and hailed as queen and honoured by other emoluments which were more fittingly bestowed upon your mother and your consort." All this is confirmed by the testimony of the writer who made the little satyric play *Agên*,[a] which was produced when the Dionysia were celebrated at the Hydaspes river, whether the author was Python of Catana (or Byzantium)[b] or the king himself. The play was produced after Harpalus had fled to the coast and revolted.[c] Pythionicê is mentioned as already dead, whereas Glycera is mentioned as living with Harpalus and as creating the accusation against the Athenians[d] of receiving bribes from Harpalus; he says[e]: "A. There is, in the place where this reed grows, a fortress too high for the birds[f]; on the other side, at the left here, is a harlot's famous temple,[g] which 'Pallides' built before he condemned himself to flight because of his plot. There, accordingly, some magi among the barbarians, seeing him in utterly despondent mood, persuaded

occurrence earlier, in 327. See also Coppola, *Riv. di fil.* v. 1927, pp. 459-467.

[d] The dative is ambiguous. Certain Athenian statesmen, including Demosthenes, were accused of receiving bribes from Harpalus, but the Athenians themselves took up the charges and investigated them; Athen. 341 f (vol. iv. p. 48), K. J. Bauer, *Harpal. Process* 9, G. Colin, *Le Discours d'Hypéride contre Démosthène* (1934) p. 31. Above, p. 196.

[e] *T.G.F.*[2] 810; above, 586 d (p. 163).

[f] The stronghold called Ἄορνον "birdless" on the Indus river, in a region over which Harpalus had been satrap, Diodor. xvii. 85. See critical note 5.

[g] Soph. *El.* 7

οὐξ ἀριστερᾶς δ' ὅδε
Ἥρας ὁ κλεινὸς ναός.

ἔπεισαν ὡς ἄξουσι[1] τὴν ψυχὴν ἄνω
596 τὴν Πυθιονίκης.

Παλλίδην δ' ἐνταῦθα ἐκάλεσε τὸν Ἅρπαλον. ἐν δὲ[2] τοῖς ἑξῆς τῷ κυρίῳ καλέσας αὐτόν φησιν·

ἐκμαθεῖν δέ σου ποθῶ
μακρὰν[3] ἀποικῶν κεῖθεν, Ἀτθίδα χθόνα
τίνες τύχαι κατέχουσιν[4] ἢ πράττουσι τί.
Α. ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον,
ἱκανὸν ἐδείπνουν· νῦν δὲ τὸν χέδροπα μόνον[5]
καὶ τὸν μάραθον[6] ἔσθουσι, πυροὺς δ' οὐ μάλα.
Β. καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον
b αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάσσονας
σίτου διαπέμψαι[7] καὶ πολίτην γεγονέναι.
Α. Γλυκέρας ὁ σῖτος οὗτος ἦν· ἔσται[8] δ' ἴσως
αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών.

Ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ κάλλει διαφερούσας ἤνεγκεν καὶ ἡ Ναύκρατις· Δωρίχαν τε, ἣν ἡ καλὴ Σαπφὼ ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς κατ' ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος
c διὰ τῆς ποιήσεως διαβάλλει ὡς πολλὰ τοῦ Χαράξου νοσφισαμένην. Ἡρόδοτος δ' αὐτὴν Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν

[1] Casaubon: ἀξιοῦσι A.
[2] δὲ added by Schweighäuser.
[3] Jacobs: ποθῶν ἄκραν A.
[4] Schweighäuser: καλοῦσιν A, κρατοῦσιν (?) Kaibel.
[5] Porson: χεδρωπαν ὠμόν A.
[6] Musurus: μαραθων A.
[7] παραπέμψαι 586 d.
[8] 586 d: ἐστι A.

him that they could lure the spirit of Pythionicê to the upper world." [a] In this passage the writer calls Harpalus "Pallides." [b] But in the next verses he calls him by his real name and says: B. "I long to learn from you, since I live so far away from there, what fortunes control the Attic land, and what the folk do there.[c] A. At the time when, they alleged, they had taken on a life of slavery, they had enough for dinner; but to-day they are eating only vetch and fennel, but wheat not at all. B. And yet I hear that Harpalus has sent over to them thousands of bushels of grain, as many as Agên sent, and so was made a citizen. A. This grain was Glycera's, and it will doubtless turn out to be their death-warrant, and not merely a whore's earnest money."

Famous courtesans, distinguished for beauty, were produced by Naucratis also; among them was Doricha, who became the mistress of the fair Sappho's brother Charaxus when he went to Naucratis on business, and whom Sappho denounced in her poetry [d] for having robbed him of a lot of money. But Herodotus calls her Rhodôpis,[e] being unaware that she is different from Dorichê, the woman who dedicated, at Delphi,

[a] For the ritual of the magi *cf.* Luc. *Necyom.* 8-11.

[b] Meineke may be right in seeing an allusion to the phallus (Παλλίδης = Φαλλίδης ?).

[c] Or "how the folk fare there," perhaps a reminiscence of Atossa's question, Aesch. *Pers.* 232

κεῖνο δ' ἐκμαθεῖν θέλω,
ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός;

The mausoleum here indicated was the one built by Harpalus in Babylonia.

[d] *P.L.G.*[4] frag. 138, Diehl frag. 25, 26, with the citations there given, Edmonds i. 204-206, *cf.* 148, *Oxyrh. Pap.* i. 10 ff., x. 20 ff.

[e] ii. 135. See How and Wells's note on Hdt. ii. 134.

Δελφοῖς, ὧν μέμνηται Κρατῖνος διὰ τούτων . . .[1] εἰς δὲ τὴν Δωρίχαν τόδ' ἐποίησε τοὐπίγραμμα Ποσείδιππος,[2] καίτοι καὶ ἐν τῇ Αἰσωπείᾳ[3] πολλάκις αὐτῆς μνημονεύσας. ἐστὶ δε[4] τόδε·

Δωρίχα, ὀστέα μέν σ' ἁπαλῆς κόσμησ' ἀπόδεσμα[5]
χαίτης ἥ τε μύρων ἔκπνοος ἀμπεχόνη,
d ἥ[6] ποτε τὸν χαρίεντα περιστέλλουσα Χάραξον
σύγχρους ὀρθρινῶν[7] ἤψαο κισσυβίων.
Σαπφῶαι[8] δὲ μένουσι φίλης ἔτι καὶ μενέουσιν
ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες.
οὔνομα σὸν μακαριστόν,[9] ὃ Ναύκρατις ὧδε[10] φυλάξει
ἔστ' ἂν ἴῃ Νείλου[11] ναῦς ἔφαλος[12] τενάγη.[13]

καὶ Ἀρχεδίκη δ' ἦν[14] ἐκ τῆς Ναυκράτεως καὶ αὐτὴ ἑταίρα καλή. φιλεῖ γάρ πως ἡ Ναύκρατις, ὡς ὁ Ἡρόδοτός φησιν, ἐπαφροδίτους ἔχειν τὰς ἑταίρας.
e Καὶ ἡ ἐξ Ἐρέσου δὲ τῆς ποιητρίας ὁμώνυμος ἑταίρα[15] Σαπφὼ τοῦ καλοῦ Φάωνος ἐρασθεῖσα περιβόητος ἦν, ὥς φησι Νυμφόδωρος[16] ἐν Περίπλῳ

[1] Lacuna marked by Basle edd. [2] *ποσίδιππος* A.
[3] Schott: *αἰθιοπίαι* A. [4] Musurus: *ἔστιν τόδε* A.
[5] Edmonds: *μέν σ' ἁπαλὰ κοιμήσατο δ' ἑσμῶν* A.
[6] Jacobs: *ἡ* A. [7] *ὀρθρινων* A.
[8] *σαπφωαι* A: Σαπφῶας Edmonds.
[9] Musurus: *μακάριστον* A. [10] *ὧιδε* A.
[11] Dindorf: *εσταν ειηνειλου* (*sic*) A. [12] *ἐφαλος* A.
[13] Edmonds: *γεγανη* A. [14] Musurus: *δ' ἦν* A.
[15] *τῆς ποιητρίας ὁμώνυμος ἑταίρα* Kaibel following Casaubon: *τῆς ἑταίρασ* A. [16] Wilamowitz: *νύμφισ* A.

[a] Or, "in his *Plutuses*," Athen. 94 e (vol. i. p. 406). Kock i. 110; the quotation is lost.

[b] Edmonds i. 148. For the contrast in the fate of the two women *cf.* Sappho's "ringing verses," Edmonds i. 232.

the famous spits which Cratinus mentions in these verses[a]: . . . Poseidippus composed the following epigram on Doriclio, although he often mentioned her also in his *Aesopeia*.[b] It is this: "True, Doriclia, thy bones are adorned with a band for thy soft tresses, and with the perfume-breathing shawl in which thou didst wrap the handsome Charaxus, flesh to flesh, until the time of the morning bowl. But the white,[c] ringing pages of Sappho's lovely song abide and will still abide. Thy name is blessed, since Naucratis will thus treasure it so long as a sea-going ship shall fare over Nile's lagoons." Archedicê also was from Naucratis, and she was another beautiful courtesan. For somehow Naucratis, as Herodotus says,[d] is apt to contain courtesans of especial charm.

Again, the courtesan from Eresus, who bore the same name as the poetess, Sappho,[e] was famous as having loved the handsome Phaon, according to Nymphodorus in his *Voyage round Asia*.[f] And

This Poseidippus flourished *ca.* 280 B.C.; Wilamowitz *Hellenist. Dichtung* i. 148.

[c] Referring to the papyrus when the book is new. Her pages remain ever fresh. The reading Σαπφᾶς is unnecessary, since the nominative is used in the figure enallagê, and in agreement with σελίδες binds together the extremes of the couplet.

[d] i. 135, φιλέουσι δέ κως ἐν τῇ Ναυκράτι ἐπαφρόδιτοι γίνεσθαι ἑταῖραι.

[e] See critical note 15. Suid. *s.v.* and others say that the poetess was from Mytilenê, not Eresus. Aelian, *V.H.* xii. 19 πυνθάνομαι ὅτι καὶ ἑτέρα ἐν τῇ Λέσβῳ ἐγένετο Σαπφώ, ἑταίρα, οὐ ποιήτρια. See D. M. Robinson, *Sappho* 14-33.

[f] *F.H.G.* iii. 16. The author of this Περίπλους is so named below, 609 e (p. 285), *cf.* 265 c, 322 a, 331 e (vol. iii. pp. 193, 446, vol. iv. p. 6). Nymphis, the reading in A, may be a hypocoristic form, but he must be distinguished from Nymphis of Heracleia, 536 a, 549 a (vol. v. pp. 422, 488).

Ἀσίας. Νικαρέτη δὲ ἡ Μεγαρὶς οὐκ ἀγεννὴς ἦν ἑταίρα, ἀλλὰ καὶ γονέων ἕνεκα[1] καὶ κατὰ παιδείαν ἐπέραστος ἦν, ἠκροᾶτο δὲ Στίλπωνος τοῦ φιλοσόφου. Βιλιστίχη δ' ἡ Ἀργεία ἑταίρα καὶ αὐτὴ ἔνδοξος, τὸ γένος ἀπὸ τῶν Ἀτρειδῶν σῴζουσα,
f ὡς οἱ τὰ Ἀργολικὰ γράψαντες ἱστοροῦσιν. ἔνδοξος δ' ἐστὶν καὶ Λέαινα ἡ ἑταίρα, Ἁρμοδίου ἐρωμένη τοῦ τυραννοκτονήσαντος· ἥτις καὶ αἰκιζομένη ὑπὸ τῶν περὶ Ἱππίαν τὸν τύραννον οὐδὲν ἐξειποῦσα ἐναπέθανεν ταῖς βασάνοις. Στρατοκλῆς δ' ὁ ῥήτωρ ἐρωμένην εἶχε τὴν ἐπικληθεῖσαν Λήμην ἑταίραν, τὴν καλουμένην Παρόραμα καὶ Δίδραχμον[2] διὰ τὸ καὶ δύο δραχμῶν φοιτᾶν πρὸς τὸν βουλόμενον, ὥς φησι Γοργίας ἐν τῷ περὶ Ἑταιρῶν."

Ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν "ἀλλὰ μικροῦ, ἔφη, ἄνδρες φίλοι, ἐξελαθόμην ὑμῖν εἰ-
597 πεῖν τήν τε Ἀντιμάχου Λυδήν,[3] προσέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν Λυδὴν ἣν ἠγάπα Λαμύνθιος ὁ Μιλήσιος. ἑκάτερος γὰρ τούτων τῶν ποιητῶν, ὥς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς, τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν καταστὰς ἐποίησεν ὁ μὲν ἐν ἐλεγείοις, ὁ δ' ἐν μέλει τὸ καλούμενον ποίημα Λυδήν. παρέλιπον δὲ καὶ τὴν Μιμνέρμου αὐλητρίδα Ναννὼ καὶ τὴν Ἑρμησιάνακτος τοῦ Κολοφωνίου Λεόντιον· ἀπὸ γὰρ ταύτης ἐρωμένης αὐτῷ γενομένης ἔγραψεν ἐλεγειακὰ τρία

[1] ἕνεκα added by Coraes.
[2] καὶ Δίδραχμον added by Kaibel, following Valckenaer.
[3] Λύδην ? Phot. cod. 213.

[a] Above, 576 f (p. 113).
[b] Possibly Dercylus is meant (Kaibel), Athen. 86 f (vol. i. p. 372).

Nicaretê of Megara was a courtesan of no mean birth, but, so far as parentage and culture go, she was very desirable; she had studied with the philosopher Stilpon. Again, Bilistichê,[a] the Argive courtesan, was of high repute, deriving her ancestry from the Atreidae, as the writers on Argive history record.[b] Of high repute also is the courtesan Leaena, mistress of Harmodius the tyrannicide; she, when put to the torture by the agents of Hippias, the tyrant, died in torment without uttering a word. The orator Stratocles kept as his mistress the courtesan nicknamed Lêmê, the one who was called Parorama and Didrachmon because she visited any one who desired her for two drachmas, according to Gorgias in his work *On Courtesans*.[c]

At this Myrtilus was on the point of stopping when he said: But, my friends, I almost forgot to tell you of Antimachus's *Lydê*,[d] and also of the like-named courtesan Lydê who was loved by Lamynthius of Miletus. For each of these two poets, according to Clearchus in his *Love Stories*,[e] in their passion for the foreign girl Lydê, composed the poem called *Lydê*, the one in elegiac couplets, the other in lyrics. I also omitted Mimnermus's flute-girl, Nannô, and the Leontion of Hermesianax of Colophon; inspired by her after she became his mistress he wrote three

[a] Above, 567 a (p. 63), P.-W. vi. 1619, no. 12. The name refers to rheum in the eyes, while Parorama, strictly meaning "oversight," "mistake," glances both at the meaning of Lêmê and at her real name, Phylacium. Didrachmon means "two-drachma piece." On the licentious demagogue Stratocles see Plut. *Demetr.* 11.

[b] Possibly the lines quoted at 469 f (vol. v. p. 72) are from this work. See *F.H.G.* iii. 190 a, and *Hermes* xxxi. 199.

[c] *F.H.G.* ii. 316, see Plut. 106 B. Lamynthius is mentioned again, 605 e (p. 265).

βιβλία, ὧν ἐν τῷ τρίτῳ κατάλογον ποιεῖται ἐρω-
b τικῶν, οὕτωσί πως λέγων·

Οἴην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο[1]
Ἀγριόπην Θρῆσσαν στειλάμενος κιθάρην
Ἀιδόθεν· ἔπλευσεν δὲ κακὸν καὶ ἀπειθέα χῶρον,
ἔνθα Χάρων κοινὴν[2] ἕλκεται εἰς ἄκατον
ψυχὰς οἰχομένων, λίμνῃ δ' ἐπὶ μακρὸν ἀυτεῖ
ῥεῦμα διὲκ[3] μεγάλων ῥυομένῃ[4] δονάκων.
c ἀλλ' ἔτλη παρὰ κῦμα μονόζωστος[5] κιθαρίζων
Ὀρφεύς, παντοίους δ' ἐξανέπεισε θεούς·
Κωκυτόν τ' ἀθέμιστον ὑπ'[6] ὀφρύσι μηνίσαντα[7]
εἶδε,[8] καὶ αἰνοτάτου βλέμμ' ὑπέμεινε κυνός,
ἐν πυρὶ μὲν φωνὴν[9] τεθοωμένου, ἐν πυρὶ δ' ὄμμα
σκληρόν, τριστοίχοις δεῖμα φέρον[10] κεφαλαῖς.
ἔνθεν ἀοιδιάων[11] μεγάλους ἀνέπεισεν ἄνακτας
Ἀγριόπην μαλακοῦ πνεῦμα λαβεῖν βιότου.

οὐ μὴν οὐδ' υἱὸς Μήνης ἀγέραστον ἔθηκεν
d Μουσαῖος, Χαρίτων ἤρανος, Ἀντιόπην[12].
ἤ τε πολὺν μύστῃσιν[13] Ἐλευσῖνος παρὰ πέζαν
εὐασμὸν κρυφίων ἐξεφόρει λογίων,

[1] Musurus: οιαγροιο A.
[2] Lennep: ἀκοὴν A, ἀκμὴν Kalinka.
[3] δι' ἐκ A.
[4] ῥυομένη A.
[5] Ruhnken: μονόζωστον A.
[6] Ruhnken: ἐπ' A.
[7] Kaibel: μηδείσαντα A.
[8] Hermann: ηδὲ A.
[9] Ruhnken: φωνηι A.
[10] Ruhnken: φέραν A.
[11] Musurus: λυδιάων A.
[12] Musurus: ηραν· δσ ἀντιόπην A.

books of elegiacs, in the last of which he gives a catalogue of love affairs in the following manner[a]:

"Such was she whom the dear son of Oeagrus,[b] armed only with the lyre, brought back from Hades, even the Thracian Agriopê.[c] Ay, he sailed to that evil and inexorable bourne where Charon drags into the common[d] barque the souls of the departed; and over the lake he shouts afar, as it pours its flood from out the tall reeds. Yet Orpheus, though girded for the journey all alone, dared to sound his lyre beside the wave, and he won over gods of every shape; even the lawless Cocytus he saw, raging beneath his banks[e]; and he flinched not before the gaze of the Hound most dread, his voice baying forth angry fire, with fire his cruel eye gleaming, an eye that on triple heads bore terror. Whence, by his song, Orpheus persuaded the mighty lords that Agriopê should recover the gentle breath of life.

Nor did the son of Mênê, Musaeus, master of the Graces, cause Antiopê to go without her meed of honour. And she, beside Eleusis's strand, expounded to the initiates the loud, sacred voice of mystic

[a] Powell 98 (to whom I owe the reading and interpretation of many passages in this poem), Diehl ii. 214-220, Couat, *Alexandrian Poetry*, translated by James Loeb, 82-109. See also Cahen, *Callimaque* 647-649, Ellenberger, *Quaestiones Hermesianacteae.*

[b] Orpheus.

[c] Later accounts give her name as Eurydicê; P.-W. vi. 1323.

[d] Propertius iii. (iv.) 18. 24 publica cymba senis. But Kalinka's proposal to read *ἀκμήν*, "still," "ever" (Modern Greek *ἀκόμη*), merits attention.

[e] Lit. "brows."

[13] Blomfield: *η τε πολυμνηστησιν* A.

Ῥάριον ὀργειῶνα νόμῳ[1] διαπομπεύουσα[2]
Δημήτρᾳ[3]· γνωστὴ δ' ἐστὶ καὶ εἰν Ἀΐδῃ.
φημὶ δὲ καὶ Βοιωτὸν ἀποπρολιπόντα μέλαθρον[4]
Ἡσίοδον, πάσης ἤρανον ἱστορίης,
Ἀσκραίων ἐσικέσθαι ἐρῶνθ'[5] Ἑλικωνίδα κώμην
ἔνθεν ὅ γ' Ἠοίην μνώμενος Ἀσκραϊκὴν
e πόλλ' ἔπαθεν, πάσας δὲ λόγων ἀνεγράψατο βίβλους
ὑμνῶν,[6] ἐκ πρώτης παιδὸς ἀνερχόμενος.
αὐτὸς δ' οὗτος ἀοιδός, ὃν ἐκ Διὸς αἶσα φυλάσσει
ἥδιστον πάντων δαίμονα μουσοπόλων,[7]
λεπτυνθεὶς[8] Ἰθάκην ἐνετείνατο[9] θεῖος Ὅμηρος
ᾠδῇσιν πινυτῆς εἵνεκα Πηνελόπης·
ἣν διὰ πολλὰ παθὼν ὀλίγην ἐσενάσσατο[10] νῆσον,
f πολλὸν ἀπ' εὐρείης λειπόμενος[11] πατρίδος·
ἔκλεε[12] δ' Ἰκαρίου[13] τε γένος καὶ δῆμον Ἀμύκλου
καὶ Σπάρτην, ἰδίων ἁπτόμενος παθέων.
Μίμνερμος δὲ τὸν ἡδὺν ὃς εὕρετο πολλὸν ἀνατλὰς
598 ἦχον καὶ μαλακοῦ πνεῦμ' ἀπὸ πενταμέτρου,

[1] Hermann (ὀργειῶνι): ὀργιωνανεμωι A.
[2] Powell: διαποιπνωιουσα A, διαποιπνύουσα Musurus.
[3] Hermann: δήμητρα A. [4] Musurus: μελαθραν A.
[5] Riegler: ἔχων A. [6] Wilamowitz: ὕμνων A.
[7] Musurus: μουσοπόλον A.
[8] Couat: λεπτην δ' εἰσ (sic) A.
[9] Kaibel: ἀνετείνετο A. [10] Musurus: εισενασσατο (sic) A.
[11] Musurus: λιπόμενος A. [12] Bergk: ἔκλαιε A.
[13] Hermann: ἰκάρου A.

[a] The text is much disputed. Reading ὀργειῶνι νόμῳ with διαποιπνύουσα (Pind. *Pyth.* x. 64 ἐμὰν ποιπνύων χάριν) Δήμητρα, we may render "ever serving the Rarian Demeter with ritual custom." The spirit of the ritual, with its sacred cries (*cf.* εὐασμόν, "singing εὐαί"), is well given in the parodos of Aristoph. *Ran.* 324-350.

oracles, as she duly escorted the priest through the Rarian plain to honour Demeter.[a] And she is known even in Hades.

I say, too, that Boeotian Hesiod, master of all lore, left his hall and went to the Heliconian village of the Ascraeans, because he was in love; whence, in wooing Eoeê, maid of Ascra, he suffered many pangs; and as he sang, he writ all the scrolls of his Catalogues,[b] ever proceeding from a girl's name first.

But that bard himself, whom the decree of Zeus for ever ordains to be the sweetest divinity among all poets, godlike Homer, languished to thinness, and set Ithaca in the strains of song for love of wise Penelopê; for her sake he went, with many sufferings, to that small isle, far from his own wide country; and he celebrated the kin of Icarius,[c] the folk of Amyclas, and Sparta[d] too, ever mindful of his own misfortunes.

And Mimnermus, who discovered, after much suffering, the sweet sound and spirit breathed from the languorous pentameter, burned for Nannô;

[b] His "Legend of Famous Women," the *Eoeae*. Each character was introduced with the formula ἢ οἵην, "or such as she whom," here strangely regarded as a girl's name, Eoeê. *Cf.* the beginning of this poem, and see Ellenberger, *op. cit.* 18, 36; Athen. 364 b, 428 b (vol. iv. pp. 148, 438). ἐκ πρώτης παιδὸς ἀνερχόμενος is curious in its extreme terseness, but intelligible enough: "With a maiden as his theme at the beginning, and ever returning (to a maiden)." For ἀνέρχομαι used of continuing or resuming a subject, *cf.* Eur. *Ion* 933, *Phoen.* 1207, ἄνελθέ μοι πάλιν. *Cf.* above on Holoi, 590 b, note *d* (p. 183).

[c] In the *Odyssey*. Icarius, brother of Tyndareus, was Penelopê's father.

[d] In the *Iliad*. These cities were the home of Helen and Menelaus.

καίετο μὲν Ναννοῦς· πολιῷ[1] δ' ἐπὶ πολλάκι λωτῷ
κημωθεὶς[2] κώμους εἶχε σὺν Ἑξαμύῃ.[3]
ἤρεθε δ'[4] Ἑρμόβιον τὸν ἀεὶ βαρὺν ἠδὲ[5] Φερε-
κλῆν[6]
ἐχθρόν, μισήσας οἷ' ἀνέπεμψεν ἔπη.[7]

Λυδῆς δ' Ἀντίμαχος Λυδηΐδος[8] ἐκ μὲν ἔρωτος
πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ·
b ἀδρανίῃ[9] δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν
κλαίων, αἰάζων[10] δ' ἦλθεν[11] ἀποπρολιπὼν
ἄκρην[12] ἐς Κολοφῶνα· γόων δ' ἐνεπλήσατο
βίβλους
ἱράς,[13] ἐκ παντὸς παυσάμενος καμάτου.

Λέσβιος Ἀλκαῖος δέ, πόσους ἀνεδέξατο κώμους,
Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον,
γινώσκεις. ὁ δ' ἀοιδὸς ἀηδόνος ἠράσαθ' ὕμνων[14]
c Τήιον ἀλγύνων ἄνδρα πολυφραδίῃ.
καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφημίλληθ'[15] Ἀνακρείων[16]
στελλομένην πολλαῖς ἄμμιγα Λεσβιάσιν[17].
φοίτα δ' ἄλλοτε μὲν λείπων Σάμον, ἄλλοτε δ'
αὐτὴν
οἰνηρῇ[18] δείρῃ[19] κεκλιμένην πατρίδα,

[1] πολλιωι A. [2] κημωθεὶς Hermann: κνημωθεὶσ A.
[3] Schweighäuser, Dindorf: σιχεσυνεξαμύη A.
[4] Wilamowitz: ηδ'ηχθεε (sic) A.
[5] Casaubon: οὐδὲ A. [6] Dindorf: φερεκλην A.
[7] Hermann: μισήσασ τ' οιαν ἔπεμψεν A.
[8] Hermann: λυσηΐδοσ A.
[9] Kaibel: δαρδάνῃ A.
[10] Ilgen: καλλιων αἴζαον A.
[11] Casaubon: διῆλθεν A.
[12] Hermann: ἄκρον A. [13] Musurus: ἱερὰσ A.
[14] Musurus: ὑμνῶν A. [15] Powell: ἐφωμίληθ' A.
[16] Musurus: ἀνακρέων A. [17] Musurus: λαισβιασιν A.

yet oft upon his venerable flute, bound to his lips,[a] he with Hexamyês[b] would hold revel. But he quarrelled with Hermobius, the ever cruel, and Pherecles, too, his foe, whom he loathed for the taunts which he hurled against him.[c]

Antimachus, too, smitten with love for the Lydian girl Lydê, trod the ground where the Pactôlus river flows; and when she died, in his helplessness he placed her in the hard earth, weeping the while, and in his woe he left her there and returned to lofty Colophon; then he filled his pious scrolls with plaints, and rested after all his pain.[d]

As for the Lesbian Alcaeus, thou knowest in how many revels he engaged, when he smote his lyre with yearning love for Sappho.[e] And the bard who loved that nightingale[f] caused sorrow, by the eloquence of his hymns, to the Teian poet. Yea, for the honey-voiced Anacreon contended for her,[g] whose beauty was supreme among the many women of Lesbos. And at times he would leave Samos, at times again his own city, that nestles against the vine-covered

[a] Lit. "furnished with the *κημός*," defined by Phot. *s.v.* as *φορβεία*, the straps on the player's cheeks which helped to hold the double pipes. See critical note 2.

[b] For this name (Carian or Phoenician?) *cf.* Diog. Laert. i. 1, Ἐξαμίου (Hermann Ἐξαμύου), the father of Thales.

[c] Hermobius and Pherecles seem to have been rivals for the love of Nannô; but the text is uncertain.

[d] So Plut. 106 B: *παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην* Λυδήν.

[e] Illustrated in art, *Museo Ital.* ii. 41 tav. vi.

[f] The jingle in *ἀοιδός* and *ἀηδών* is to be noted though it cannot be reproduced in English. *Cf.* Hes. *Opp.* 203, 208.

[g] The anachronism is noticed by Athenaeus below, 599 c, p. 229. Sappho lived a hundred years before Anacreon.

[18] Kaibel: *οἰνηρὴν* A. [19] Bergk: *δοῦρον* A.

Λέσβον ἐς[1] εὔοινον· τὸ δὲ Μύσιον[2] εἴσιδε Λεκτὸν[3]
πολλάκις Αἰολικοῦ κύματος ἀντιπέρας.

Ἀτθὶς δ' οἷα μέλισσα πολυπρήωνα Κολώνην[4]
λείπουσ' ἐν τραγικαῖς ἥδε χοροστασίαις[5]
d Βάκχον καὶ τὸν ἔρωτα Θεωρίδος Ἠριγόνης τε
ἃς ποτε γηραιῷ Ζεὺς[6] ἔπορεν Σοφοκλεῖ.

φημὶ δὲ καὶ κεῖνον[7] τὸν ἀεὶ[8] πεφυλαγμένον ἄνδρα
καὶ πάντων μῖσος κτώμενον ἐκ συνοχῶν
πάσας ἀμφὶ γυναῖκας ὑπὸ σκολιοῖο τυπέντα
τόξου νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας·
ἀλλὰ Μακηδονίης πάσας κατενίσατο λαύρας
αἰάζων,[9] μέθεπεν δ' Ἀρχέλεω[10] ταμίην·
e εἰσόκε δὴ[11] δαίμων Εὐριπίδῃ[12] εὕρετ' ὄλεθρον,
Ἀρριβίου[13] στυγνῶν ἀντιάσαντι[14] κυνῶν.

ἄνδρα δὲ τὸν Κυθέρηθεν, ὃν ἐθρέψαντο[15] τιθῆναι
Βάκχου καὶ λωτοῦ πιστότατον ταμίην

[1] Musurus: εἰσ A. [2] Wensch: μυριον A.
[3] Casaubon (Λέκτον): λέκτρον A.
[4] Ruhnken: αὐθισ . . . πολυπριωνα κοδώνην A.
[5] Musurus: χοροστασιασ A.
[6] Lennep (Θεωρίδος), Maass: ἔρωτ' ἀγειραιθειαρειδοσ ζεὺσ A.
[7] Bergk: κακεῖνον A.
[8] αἰεὶ (as usual) A. [9] Powell: αἰγειων A.
[10] Musurus: μέθεπε δ' ἀρχελάωι A.
[11] δὴ added by Schweighäuser.
[12] Schweighäuser: εὐριπιδη A.
[13] Headlam: ἀμφὶ βίου A. [14] Musurus: ἀντιάσαντα A.
[15] ὃν ἐθρέψαντο Hermann: ἀνεθρέψαντο A.

[a] Sophocles, as the following lines show. He was born at Colonus, *Oed. Col.* 668-719, especially 707 ἄλλον δ' αἶνον

hill, and visit Lesbos, rich in wine; and oft he gazed upon Lectum, the Mysian headland across the Aeolian wave.

How too, the Attic bee[a] left Colonê of the many hillocks, and sang with choruses marshalled in tragedy—sang of Bacchus and of his passion for Theoris and for Erigonê, whom Zeus once gave to Sophocles in his old age.

I say, too, that that man who had ever guarded himself against passion, and had won the hatred of all men by his railings[b] concerning all women, was none the less smitten by the treacherous bow, and could not lay aside his pangs by night; nay, in Macedonia he traversed all the by-ways in his woe, and became dependent on the steward of Archelaus; until at last Fate found destruction for Euripides, when he met the cruel hounds of Arribius.[c]

And that poet from Cythera, whom the nurses of Bacchus reared, and the Muses taught to be the

ἔχω ματροπόλει τᾶδε κράτιστον, δῶρον τοῦ μεγάλου δαίμονος, εἰπεῖν. Suid. s. Σοφοκλῆς. On Theoris see above, 592 a (p. 193). For "Attic bee" *cf.* Pind. *Pyth.* iv. 60 *χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος*, of the priestess of Apollo (Pythia) at Delphi. Aristoph. *Av.* 749-750 uses the term, in a simile, of the tragic poet Phrynichus, *ὥσπερεὶ μέλιττα Φρύνιχος ἀμβροσίων μελέων ἀπεβόσκετο καρπὸν ἀεὶ φέρων γλυκεῖαν ᾠδάν.* The Colonus hill is not elsewhere called Colonê; one may compare the Spartan hill Colona (Κολώνα), Athen. 574 d (p. 103).

[b] The meaning of *ἐκ συνοχῶν* is unknown. Headlam's *ἐξ ὑλακῶν*, "by his barking," seems the most likely correction. *Cf.* Satyrus in *Ox. Pap.* ix. 1176, frag. 39, col. x (p. 152) *ἀπήχθοντ' αὐτῷ πάντες οἱ μὲν ἄνδρες διὰ τὴν δυσομιλίαν, αἱ δὲ γυναῖκες διὰ τοὺς ψόγους τοὺς ἐν τοῖς ποιήμασιν.*

[c] The name is uncertain: Arrhidaeus? Arrhabaeus? For the story see *Vit. Eur.* i. 54, ii. 35, iii. 19; *Ox. Pap.* ix. pp. 165, 181.

Μοῦσαι παίδευσάν τε[1] Φιλόξενον, οἷα τιναχθεὶς
'Ορτυγίην[2] ταύτης ἦλθε διὰ πτόλεως,
γινώσκεις, ἀίουσα[3] μέγαν πόθον ὃν Γαλατείη[4]
αὐτοῖς μηλείοις[5] θήκαθ' ὑπὸ προγόνοις.

οἶσθα δὲ καὶ τὸν ἀοιδόν, ὃν[6] Εὐρυπύλου πολῖται
f Κῷοι χάλκειον στῆσαν[7] ὑπὸ πλατάνῳ
Βιττίδα μολπάζοντα θοήν, περὶ πάντα Φιλίταν
ῥήματα καὶ πᾶσαν τρυόμενον[8] λαλιήν.
οὐδὲ μὲν οὐδ' ὁπόσοι σκληρὸν βίον ἐστήσαντο
ἀνθρώπων, σκοτιὴν[9] μαιόμενοι σοφίην,
οὓς αὐτὴ περὶ πυκνὰ[10] λόγοις ἐσφίγξατο μῆτις
καὶ δεινὴ μύθων κῆδος ἔχουσ' ἀρετή,
οὐδ' οἶδ' αἰνὸν[11] ἔρωτος ἀπεστρέψαντο κυδοιμὸν
599 μαινόμενον,[12] δεινὸν δ' ἦλθον ὑφ' ἡνίοχον.

οἴη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς
Πυθαγόρην, ἑλίκων κομψὰ γεωμετρίης
εὑρόμενον,[13] καὶ κύκλον ὅσον περιβάλλεται αἰθὴρ
βαιῇ ἐνὶ σφαίρῃ[14] πάντ' ἀπομασσόμενον.[15]

[1] Kaibel: παιδευθέντα A. [2] Bergk: ὠρυγη (*sic*) A.
[3] Dalechamps, Ruhnken: γινωσκει καὶ ούσαν A.
[4] Weston: γαλατείησ A. [5] Heringa: μηλίοισ A.
[6] Casaubon: τὸν A. [7] Hecker, Meineke: θῆκαν A.
[8] Hermann: ρυόμενον A. [9] Heinrich: σκολιὴν A.
[10] Porson: πικρὰ A. [11] Weston: ουδ' οἶδεν ὃν A.
[12] Heinrich: φαινόμενον A. [13] *sic* A here.
[14] Dindorf (ἐνὶ Hemsterhuys): βίησ ἐν σφαίρηι A.
[15] Hemsterhuys: ἀποτασσόμενον A.

---

[a] For Philoxenus, who wrote the story of his unhappy love for Galateia, the mistress of Dionysius, whom he called Cyclops, see Athen. 6 e-7 a (vol. i. pp. 26-28); Edmonds (L.C.L.) iii. 384.

most faithful steward of the flute, Philoxenus,[a]—thou knowest how he was racked with pain, and passed through our city to Ortygia[b]; for thou[c] hast heard of his mighty yearning, which Galateia esteemed less than the very firstlings of the flock.

Thou knowest also of that bard in whose honour the townsmen of Eurypylus,[d] the men of Cos, raised a bronze statue beneath the plane-tree; he, Philitas,[e] sang his love for the nimble Bittis, versed as he was in all the terms of love and in all its speech.

Yea, not even all the mortals who ordained for themselves a life austere,[f] seeking to find the dark things of wisdom, whom their very craft caused to choke in the shrewd contests of debate, and their dread skill, which bestowed its care upon eloquence,—not even they could turn aside the awful, maddened turmoil of Love, but they fell beneath the power of that dread charioteer.[g]

Such was the madness for Theanô[h] that bound with its spell the Samian Pythagoras; yet he had discovered the refinements of geometric spirals, and had modelled in a small globe the mighty circuit of the enveloping aether.

[b] Not the island off Syracuse, but a grove near Ephesus, where Philoxenus died, Suid. *s.* Φιλόξενος, Strabo 639. "Our city" is Colophon.

[c] Leontium, to whom Hermesianax addresses his poem, 597 a.

[d] One of the circle of Coan literati.

[e] Athen. 383 b, 401 e (vol. iv. pp. 232, 318), 552 b (vol. v. p. 506). For his mistress Bittis see Ovid, *Trist.* i. 61, *Ex Ponto* iii. 1. 17.

[f] The poet now considers the philosophers.

[g] On Love the charioteer see Anacreon above, 564 d (p. 49), Rohde, *Gr. Rom.*[3] 115 note.

[h] Diog. Laert. viii. 1. 42.

οἷῳ δ' ἐχλίηνεν ὃν[1] ἔξοχον ἔχρη Ἀπόλλων[2]
ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ[3]
Κύπρις μηνίουσα πυρὸς μένει. ἐκ δὲ βαθείης
b ψυχῆς κουφοτέρας ἐξεπόνησ'[4] ἀνίας,
οἰκί' ἐς Ἀσπασίης πωλεύμενος· οὐδέ τι τέκμαρ
εὗρε, λόγων[5] πολλὰς εὑρόμενος[6] διόδους.

ἄνδρα δὲ[7] Κυρηναῖον ἔσω[8] πόθος ἔσπασεν Ἰσθμοῦ
δεινός,[9] ὅτ' Ἀπιδανῆς Λαΐδος ἠράσατο
ὀξὺς Ἀρίστιππος, πάσας δ' ἠνήνατο λέσχας
φεύγων, οὐδαμινόν τ' ἐξεφόρησε βίον.[10]

c Ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται συγχρονεῖν οἰόμενος Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ' Ἀλυάττην τὸν Κροίσου πατέρα. Χαμαιλέων δ' ἐν τῷ περὶ Σαπφοῦς καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος τάδε·

σφαίρῃ δεῦτέ με πορφυρέῃ[11]
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ[12]
συμπαίζειν προκαλεῖται.
ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου[13]
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
d πρὸς δ' ἄλλην τινὰ χάσκει.

[1] Heringa: δεχλειημενον A.
[2] Porson: ἐχρῆν πολλῶν δ' A. [3] Musurus: σοφῆι A.
[4] Musurus: ἐξεπόνησαν A.
[5] Heringa, Ruhnken: λόγωι A.
[6] Dindorf: ἐυράμενοσ A. [7] δὲ added by Hermann.
[8] Hermann: εἴσω A. [9] Ruhnken: δεινὸν A.
[10] Harbarton: ουδαμενον ἐξεφόρησεβιωι A.

And with what fiery power did Cypris, in her wrath, heat Socrates, whom Apollo had declared to be supreme among men in wisdom! Yea, though his soul was deep, yet he laboured with lighter pains when he visited the house of Aspasia [a]; nor could he find any remedy,[b] though he had discovered the many cross-paths of logic.

Even the man of Cyrenê, keen Aristippus, was drawn by overpowering love beyond the Isthmus, when he fell in love with Laïs of Apidanê [c]; in his flight he renounced all discourse, and expounded a life of worthlessness."

In these lines Hermesianax makes the mistake of supposing that Sappho and Anacreon belonged to the same period, for he flourished in the time of Cyrus and Polycrates, whereas she belonged to the time of Alyattes, the father of Croesus. Yet Chamaeleon, in his book *On Sappho*, asserts [d] that some say it was to her that the following verses were addressed by Anacreon [e]: "Now golden-haired Eros tosses at me his purple ball, and challenges me to sport with the maiden of the broidered sandal. But she—for she is from fair Lesbos—finds fault with my hair, for it is white, and is all agape for another—a woman!"

[a] Xen. *Mem.* ii. 6. 36, *Oec.* iii. 14, P.-W. ii. 1719.

[b] An expression borrowed from *Il.* xvi. 472 of Automedon, *τοῖο μὲν . . . εὕρετο τέκμωρ.* But there may also be an allusion to Socrates' well-known reliance on "signs," *τεκμήρια*, as guides to conduct.

[c] Apia or Apidanê was the earlier name of Peloponnesus.

[d] Frag. 10 Koepke.

[e] *P.L.G.*[4] iii. 258, Diehl frag. 5, Edmonds ii. 144, Wilamowitz, *Sappho und Simonides* 116.

[11] Pauw: *πορφυρεν* A. [12] Seidler: *ποικίλος λαμβανω* A. [13] Barnes: *ηδεστι γὰρ ἀπευκτικοῦ* A.

καὶ τὴν Σαπφὼ δὲ πρὸς αὐτὸν ταῦτά φησιν εἰπεῖν·

κεῖνον, ὦ χρυσόθρονε Μοῦσ', ἔνισπες[1]
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήιος χώρας ὃν[2] ἄειδε τερπνῶς
πρέσβυς ἀγαυός.[3]

ὅτι δὲ οὐκ ἐστι Σαπφοῦς τοῦτο τὸ ᾆσμα παντί που δῆλον. ἐγὼ δὲ ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνακτα περὶ τούτου τοῦ ἔρωτος. καὶ γὰρ Δίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ δράματι Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα.

e Ταῦθ' ὑμῖν, ὦ ἑταῖροι, οὐκ ἀμερίμνως δοκῶ τὸν ἐρωτικὸν τοῦτον πεποιῆσθαι κατάλογον, οὐκ ὢν οὕτως ἐρωτομανὴς ὡς διαβάλλων μ' εἴρηκεν ὁ Κύνουλκος, ἀλλ' ἐρωτικὸς μὲν εἶναι ὁμολογῶ, ἐρωτομανὴς δὲ οὔ.

τίς δ' ἔστ'[4] ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν,
ἐξὸν σιωπᾶν κἂν σκότῳ κρύπτειν τάδε;

Αἰσχύλος ἔφη ὁ Ἀλεξανδρεὺς ἐν Ἀμφιτρύωνι. οὗτος δέ ἐστιν Αἰσχύλος ὁ καὶ τὰ Μεσσηνιακὰ ἔπη συνθείς, ἀνὴρ εὐπαίδευτος.

f Ὑπολαμβάνων οὖν μέγαν[5] εἶναι δαίμονα καὶ δυνατώτατον τὸν Ἔρωτα, προσέτι τε καὶ τὴν Ἀφροδίτην τὴν χρυσῆν, τὰ Εὐριπίδου ἐπὶ νοῦν λαμβάνων λέγω·

[1] Barnes: κείνων ὦ χρυσόθρονε μοῦσα εἴνσπεσ A.
[2] Barnes: ὁ τήϊος χώρασ δσ A.
[3] Barnes: ἀγλαόσ A.

And Chamaeleon further says that Sappho spoke to Anacreon these lines [a]: "The hymn which thou didst utter, O Muse of the golden throne, is that which the Teian, glorious old man from the goodly land of fair women, sang to our delight." But that this song is not by Sappho is plain, I imagine, to any one. In fact I think that Hermesianax was joking as regards this love affair. For the comic poet Diphilus, in his play, *Sappho*, has even made Archilochus and Hipponax lovers of Sappho! [b]

In all this, my friends, methinks I have constructed for you, not without care, a catalogue of lovers, not being myself so love-mad, as Cynulcus has insultingly called me, though I admit that I am a lover, but not "love-mad." [c] "What need is there to make oneself unhappy in a company when one may keep silence and hide all this in darkness?" So said Aeschylus of Alexandria in his *Amphitryo*.[d] This Aeschylus is the one who composed the *Epic of Messenia*; he was a man of great learning.

Since, then, I believe that Eros is a mighty and most powerful divinity, as is also Aphroditê "the golden," [e] I will recite the lines of Euripides as I

[a] *P.L.G.*[4] iii. 98, Diehl frag. adesp. 1, Edmonds ii. 146.

[b] Kock ii. 564. See Athen. 487 a (vol. v. p. 164) for the only known fragment of this play.

[c] For other similar terms see 464 d (vol. v. p. 25 and note *h*).

[d] *T.G.F.*[2] 824. This Aeschylus is otherwise unknown. He may be the author of a work on proverbs cited by Zenobius v. 85 concerning "Sardonic laughter," Crusius, *Anal. Crit. ad Paroemiogr.* p. 148.

[e] *Il.* iii. 64.

---

[a] ἔσται A.

[b] μέγιστον? μέγιστοι καὶ δυνατώτατοι θεοί lemma in A.

τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἣν οὐδ'[1] ἂν εἴποις οὐδὲ μετρήσειας ἂν
ὅση πέφυκε κἀφ' ὅσον διέρχεται.
αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.
τεκμήριον δέ (μὴ λόγῳ μόνον μάθῃς,
600 ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ)[2]
ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν[3] ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ.
ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο.
ὅταν δὲ συμμιχθῆτον ἐς ταὐτὸν δύο,
φύουσιν[4] ἡμῖν πάντα καὶ τρέφουσ' ἅμα,
δι' ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος.

καὶ ὁ σεμνότατος δ' Αἰσχύλος ἐν ταῖς Δαναΐσιν αὐτὴν παράγει τὴν Ἀφροδίτην λέγουσαν·

b ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
ὄμβρος δ' ἀπ' εὐνάοντος[5] οὐρανοῦ πεσὼν
ἔκυσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον·

[1] Musurus: θεὸς ἣν· οὐδ' ACE, ἀλλ' οὐδ' Stobaeus.
[2] ἔργῳ δὲ δείξω (δεῖξον C) θεοῦ deleted by Gomperz. I have changed the punctuation and taken δείξω as subjv.
[3] ὅταν Aristotle, Stobaeus: ὅτε AC.
[4] τίκτουσιν Stobaeus.
[5] εὐναοεντος CE: εὐνάεντοσ A, εὐναοθέντος Lobeck, εὐνατῆρος Nauck.

[a] *T.G.F.*[2] 648, Stob. *Ecl.* i. 9. 1; *cf.* Eur. *Hipp.* 439-458,

remember them [a]: "Dost thou not see how great a goddess is Aphroditê? Of her thou canst not tell, thou canst not measure how great she is, or how far her power extends. She it is who nurtures you and me and all mortals. And a proof (that you may not learn it from words alone, and that I may show the goddess's power by facts): the earth is in love with the rain, whensoe'er the dry ground, fruitless in drought, hath need of moisture. And the august heaven, filled with rain, loves to cast itself upon the earth through Aphroditê's spell.[b] And when the twain mingle as one, they cause all things to grow for us, and nurture them as well,—all things by which the race of mortals lives and flourishes." Again, the most august Aeschylus, in his *Danaïds*, introduces Aphroditê herself saying [c]: "The chaste heaven loves to violate [d] the earth, and love lays hold on earth to join in wedlock. The rain from the streaming heaven [e] falls down and impregnates the earth; and she brings forth for mortals the pasturage of sheep and Demeter's sustenance; and the ripe

the nurse's plea to Phaedra. For a similar plea in favour of drinking *cf. Anacreontics* 21, ἡ γῆ μέλαινα πίνει, etc.

[b] Quoted by Aristot. *Eth. Nic.* 1153 b 2 to illustrate the theory held by some (*e.g.* Heracleitus) that love is the attraction of opposites.

[c] *T.G.F.*[2] 16. Mazon, *Eschyle* i. 9 note 1 compares Verg. *Georg.* ii. 325:

> Tum pater omnipotens fecundis imbribus Aether
> coniugis in gremium laetae descendit et omnis
> magnus alit magno commixtus corpore fetus.

[d] For this meaning of τρῶσαι *cf.* Hesych. *s.* τρώζειν (Zonaras τρωέζειν) . . . συνουσιάζειν.

[e] Or, accepting the reading εὐνάεντος (a word found only here), "the heaven which is bedded with earth."

δενδρῶτις ὥρα[1] δ' ἐκ νοτίζοντος γάμου[2]
τέλειος ἐστί. τῶν δ' ἐγὼ παραίτιος.

Ἐν Ἱππολύτῳ Εὐριπιδείῳ[3] πάλιν ἡ Ἀφροδίτη φησίν·

c ὅσοι τε Πόντου τερμόνων τ' Ἀτλαντικῶν[4]
ναίουσιν εἴσω φῶς ὁρῶντες ἡλίου,
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.[5]

νεανίσκῳ γὰρ τὴν πᾶσαν ἀρετὴν ἔχοντι τοῦτο μόνον πρὸ ἁμάρτημα προσόν, ὅτι οὐκ ἐτίμα τὴν Ἀφροδίτην, αἴτιον[6] ἐγένετο τοῦ ὀλέθρου· καὶ οὔτε ἡ Ἄρτεμις ἡ περισσῶς ἀγαπήσασα οὔτε τῶν ἄλλων θεῶν τις ἢ δαιμόνων ἐβοήθησεν αὐτῷ. κατὰ τὸν αὐτὸν οὖν ποιητήν·

d ὅστις δ'[7] Ἔρωτα μὴ μέγαν[8] κρίνει θεόν,
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὤν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

ὃν ὁ σοφὸς ὑμνῶν αἰεί ποτε Ἀνακρέων πᾶσίν ἐστιν διὰ στόματος. λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε·

τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ' ᾠδὰς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,

[1] Hermann: *δένδρων τισ ὥρα* A, *δένδρων τ' ὀπώραν* (*ὀπώρα* Hartung), deleting δ' Kaibel.
[2] A: *γάνους* Gomperz.
[3] *εὐριπιδίωι* A.
[4] *ταλαντικῶν* A.
[5] *μέτα* A.
[6] Musurus: *ἀπιὸν* A.
[7] δ' Stobaeus: om. A.
[8] Kaibel: *μόνον* A. *μὴ θεὸν κρίνει μέγαν* Stobaeus.

[a] Or, adopting Kaibel's conjecture, "the fruit of trees."
[b] Or, "watery joy." See critical note 2.

season for the trees[a] is perfected by the watery union.[b] Of all this I am the cause."

In the Euripidean *Hippolytus*, again, Aphroditê declares[c]: "And all who dwell between Pontus and the bounds of Atlas,[d] looking upon the light of the sun—those who reverence my power I honour, but I bring low all who think presumptuous thoughts against me." A young man[e] who possessed every virtue, beset only by this error, that he failed to honour Aphroditê—to him she became the cause of his destruction; and neither Artemis, who loved him exceedingly, nor any other god or spirit could aid him. And so, as the same poet puts it[f]: "Whoever judges not Eros to be a mighty god is either stupid or, having no experience of good things, knows not of the god who is the mightiest power to men." Yes, he is the god of whom wise Anacreon, the poet on every man's lips, is constantly singing. Hence the most excellent Critias says of him[g]: "Teos[h] brought to Hellas that poet who once wove the strains of song with woman as his theme, delightful Anacreon, flame[i] of drinking-

[a] *Vss.* 1-6:

πολλῇ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος,
θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω·
ὅσοι τε, etc.

[d] *i.e.* from the Black Sea to the Atlantic.

[e] Hippolytus.

[f] *T.G.F.*[2] 438, from Eur. *Augê*; see Stob. *Flor.* 63. 11. Nauck compares Statius Caecilius *ap.* Cic. *Tusc.* iv. 32. 68 [Amorem] deum qui non summum putet aut stultum aut rerum esse imperitum existumo. *Cf.* also Menander frag. 449 (Kock iii. 129, Allinson 436), Lactant. *Inst.* i. 11. 1.

[g] *P.L.G.*[4] ii. 283, Diehl frag. 8, Diels, *Vorsokr.*[2] ii. 613, Edmonds ii. 128.

[h] Birthplace of Anacreon.

[i] For the meaning of *ἐρέθισμα cf.* Athen. 339 c (vol. iv. p. 38) *τοῖς νέοισιν ἠρεθισμένος*, "inflamed by youth."

συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
e *αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.*
οὔ ποτέ σου[1] *φιλότης γηράσεται*[2] *οὐδὲ θανεῖται,*
ἥς τ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσι
παῖς διαπομπεύῃ, προπόσεις[3] *ἐπὶ δεξιὰ νωμῶν,*[4]
πανυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ'[5] *ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ*[6]
κοττάβου ὑψηλαῖς[7] *κορυφαῖς*[8] Βρομίου *ψακάδεσσιν.*

f 'Αρχύτας[9] δ' ὁ ἁρμονικός, ὥς φησι Χαμαιλέων, 'Αλκμᾶνα γεγονέναι τῶν ἐρωτικῶν μελῶν ἡγεμόνα καὶ ἐκδοῦναι πρῶτον μέλος ἀκόλαστον, ὄντα καταφερῆ[10] περὶ τὰς γυναῖκας καὶ τὴν τοιαύτην μοῦσαν εἰς τὰς διατριβάς. διὸ καὶ λέγειν ἔν τινι τῶν μελῶν·

Ἔρως με δαῦτε Κύπριδος ἕκατι
γλυκὺς κατείβων καρδίαν ἰαίνει.

λέγει δὲ καὶ ὡς τῆς Μεγαλοστράτης οὐ μετρίως ἐρασθείς, ποιητρίας μὲν οὔσης, δυναμένης δὲ καὶ

[1] *τοῦ* Hermann. [2] AC: *γηράσκεται* E.
[3] Musurus: *πρόποσισ* AE, *πρόποσιν* C.
[4] *ἐπιδέξια νωμῶν* E (*κωμῶν* C): *ἐπιδεξιαν ὠμῶν* A.
[5] *πλάστιγξ δ'* CE: *πλάστιξ τε* A.
[6] *καθίζει* AC: *καθίζει* E.
[7] *ὑψηλῇ* Wilamowitz, *ὑψηλοῦ* Kaibel, adding *βαλλομένῃ* in the next verse.
[8] Diels proposed *τέκμαρ* or *ὀροφή*, regarding *κορυφαῖς* as a gloss to *ἄκραισι*.

parties, cheater of women, of flutes the foe,[a] lover of the lyre, full of delight, healer of pain. Never shall love of thee grow old or die, so long as a slave-boy solemnly bears round water and wine mingled for the cups, dispensing toasts from left to right,[b]—so long as feminine choirs do their ministry in holy night-long vigils, and the scale-pan, daughter of bronze, sits upon the high peak of the cottabos to receive the drops of Bromian."[c]

Archytas—the one who wrote on the theory of music[d]—says, according to Chamaeleon,[e] that Alcman led the way as a composer of erotic songs, and was the first to publish a licentious song, being prone in his habits of life to the pursuit of women and to poetry of that kind.[f] Hence he says, in one of his songs[g]: "Once again sweet Eros, to grace Cypris, overflows and melts my heart." He[h] says, too, that Alcman fell immoderately in love with Megalostratê, who was

[a] The lyre is much oftener mentioned by Anacreon than the flute; but Critias may be ascribing to him the dislike of the flute prevalent in Athens in the latter part of the fifth century. See Athen. 177 a (vol. ii. p. 302), and below, p. 323 note *a*.

[b] On clockwise motion see vol. v. p. 23 and note *f*.

[c] *i.e.* the drops of wine tossed from the players' cups; Athen. 487 d (vol. v. p. 168), 666 a. See critical note 7.

[d] Diog. Laert. viii. 82 says there were four men of the name; this Archytas was from Mytilenê.

[e] Frag. 27 Koepke.

[f] *i.e.* licentious; but the text is corrupt. According to Schweighäuser we should supply εἰσαγαγεῖν or something similar, and render "was the first to introduce that kind of poetry into the symposia."

[g] *P.L.G.*[4] iii. 51, Diehl ii. 36, Edmonds i. 118.

[h] Either Archytas or Chamaeleon. See Diels in *Herm.* xxxi. 352.

[9] ἀρχύτησ A. [10] καταφερῆ Bergk: καὶ A.

601 B Thycus ... Alcaeus Stud. Et. 15 (1941) 208

διὰ τὴν ὁμιλίαν τοὺς ἐραστὰς προσελκύσασθαι·
601 λέγει δ' οὕτως περὶ αὐτῆς·

τοῦθ' ἁδειᾶν Μουσᾶν[1] ἔδειξε
δῶρον μάκαιρα παρθένων
ἁ ξανθὰ Μεγαλοστράτα.

καὶ Στησίχορος δ' οὐ μετρίως ἐρωτικὸς γενόμενος συνέστησε καὶ τοῦτον τὸν τρόπον τῶν ἀσμάτων· ἃ δὴ καὶ τὸ παλαιὸν ἐκαλεῖτο παίδεια[2] καὶ παιδικά. οὕτω δ' ἐναγώνιος ἦν ἡ περὶ τὰ ἐρωτικὰ πραγματεία, καὶ οὐδεὶς ἡγεῖτο φορτικοὺς τοὺς ἐρωτικούς, ὥστε καὶ Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν
b τοὺς ἔρωτας,[3] ὁ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν παίδων· διὸ καὶ παιδεράστριάν[4] τινες καλοῦσι τὴν τραγῳδίαν· καὶ ἐδέχοντο τὰ τοιαῦτα ἄσμενοι[5] οἱ θεαταί.

Καὶ ὁ Ῥηγῖνος δὲ Ἴβυκος βοᾷ καὶ κέκραγεν·

ἦρι μὲν αἵ τε Κυδώνιαι
μαλίδες[6] ἀρδόμεναι ῥόαι τ'[7]
ἐκ ποταμῶν ἵνα Παρθένων
κᾶπος[8] ἀκήρατος, αἵ τ' οἰνανθίδες[9]
αὐξόμεναι σκιεροῖσιν ὑφ' ἔρνεσιν
οἰναρέοις θαλέθοισιν· ἐμοὶ δ' ἔρος

[1] Stephanus: ἁδειαν μοῦσαν A.
[2] Welcker: παιδιὰ ACE.
[3] τοὺσ ἔρωτασ A, ἀρσενικοὺς ἔρωτας Schweighäuser, ἀρτικοὺς after an erasure C.
[4] Schweighäuser: παιδεραστάν A.
[5] Kaibel: ἄισματα A, om. C (ἐδέχοντο οἱ θεαταί).
[6] μηλίδες A.
[7] ῥόαι τ' Wilamowitz: ροὰν A, ῥοᾶν Musurus.

a poetess and able to attract lovers to her by her conversation. He speaks thus of her [a]: "This is the gift of the sweet Muses, which she, happy maiden, the golden-haired Megalostrata, hath shown forth." Stesichorus, also, was immoderately erotic and has composed that type of songs; these, as is well known, were of old called *paideia* and *paidika*.[b] So active was the pursuit of love-affairs, since no one regarded erotic persons as vulgar, that even a great poet like Aeschylus, and Sophocles, introduced in the theatre love themes in their tragedies—the first, that of Achilles and Patroclus,[c] the second, that of the boys in *Niobê* [d]: hence some call the tragedy *Paederastria*; and the audience gladly accepted such stories.

And Ibycus of Rhegium, also, cries out and shouts aloud [e]: "Only in spring grow the quinces and pomegranates,[f] watered by streams in the inviolate garden of the Maidens,[g] and the swelling grape-blossoms thrive beneath the shade of the vine-shoots; but for

[a] See Diehl ii. 36 for dialect and metre.

[b] Lit. "songs in honour of favourite boys." See Godolphin in *Classical Studies presented to Edward Capps*, p. 171.

[c] *T.G.F.*[2] 44, in *Myrmidons*; below, 602 e. For Plato's comment on this see *Symp.* 180 A. On the other hand, Euripides, in Aristoph. *Ran.* 1045, says to Aeschylus: *μὰ Δί', οὐ γάρ ἐπῆν τῆς Ἀφροδίτης οὐδέν σοι.* To which Aeschylus retorts: *μηδέ γ' ἐπείη.*

[d] *T.G.F.*[2] 229, Plut. 760 D, *τῶν μὲν γὰρ τοῦ Σοφοκλέους Νιοβιδῶν βαλλομένων καὶ θνῃσκόντων ἀνακαλεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον ἢ τὸν ἐραστήν.*

[e] *P.L.G.*[4] iii. 235, Diehl ii. 53, Wilamowitz, *Sappho u. Simonides* 122, Edmonds ii. 84.

[f] On quinces see Athen. 81 a (vol. i. p. 349) and note *d*; on pomegranates, 650 e.

[g] *i.e.* The Nymphs, Roscher, *Lex. myth.* v. 503, 505, 515.

[8] *κῆπος* A.

[9] Musurus: *οἰνανθίδος* A.

οὐδεμίαν κατάκοιτος[1] ὥραν·
ἄθ'[2] ὑπὸ στεροπᾶς φλέγων
c Θρηίκιος[3] Βορέας, ἀΐσ-
σων παρὰ Κύπριδος ἁζαλέαις μανί-
αισιν ἐρεμνὸς ἀθαμβὴς
ἐγκρατέως[4] πάϊθεν[5] φυλάσσει
ἡμετέρας φρένας.

καὶ Πίνδαρος δ' οὐ μετρίως ὢν ἐρωτικός φησιν·

εἴη καὶ ἐρᾶν καὶ ἔρωτι
χαρίζεσθαι κατὰ καιρόν·[6]
μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν.

διόπερ καὶ ὁ Τίμων ἐν τοῖς Σίλλοις ἔφη·

ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι,

καὶ μὴ ἀναμένειν ἔστ' ἂν ἐκεῖνό τις φθέγξηται κατὰ τὸν αὐτὸν τοῦτον φιλόσοφον·

d ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι.

μνησθεὶς δὲ καὶ τοῦ Τενεδίου Θεοξένου ὁ Πίνδαρος, ὃς ἦν αὐτοῦ ἐρώμενος, τί φησιν;

χρῆν μὲν' κατὰ καιρὸν ἐρώ-
των δρέπεσθαι, θυμέ, σὺν ἁλικίᾳ·
τὰς δὲ Θεοξένου ἀκτῖ-
νάς ποτ' ὄσσων μαρμαρυζοίσας[9] δρακεὶς

[1] Musurus: κατακηγοσ A. [2] ἄθ' Hermann: τε A.
[3] Fiorillo: θρηϊκοισ A.
[4] ἀθαμβὴς ἐγκρατέως Hermann: ἀθάμβησεν κραταιῶς A.
[5] πάϊθεν Schulze, παιδόθεν B, Musurus (so, probably, Chamaeleon): παιδ' ὅθεν A.
[6] CE: καὶ κατὰ καιρόν A.

me there is no season when love lies quiet; all aflame, like Thracian Boreas 'mid the lightning-flash, he from my boyhood hath darted love upon me from Cypris, darkling, unflinching, with scorching madness, and hath kept my heart under fierce sway." Pindar, too, being immoderately erotic, says [a]: "May it be mine to love and to yield to love in due season. Pursue not, my heart, that action as something to be esteemed beyond measure." Wherefore Timon in his *Satires* has said [b]: "There is a time to love, a time to marry, and a time to stop it for good," [c] and not wait until some one utters the line of this same philosopher: "Now, when his sun ought to be *declining*, he begins to *recline* in the lap of pleasure." When Pindar calls to mind Theoxenus of Tenedos, with whom he was in love, what does he say? [d] "Meet it were, my heart, to cull the flowers of love in due season, in thy prime; but whosoever, once he hath seen the rays flashing from the eyes of Theoxenus, is not tossed on the waves

[a] *P.L.G.*[5] i. 440, Sandys 584, above, 561 b (p. 33). This quotation does not support the accusation against Pindar, though the one below does; *cf. Ol.* x. 97-105. Christ and Kaibel regarded the second verse as corrupt; certainly ῥυθμοῦ would be a better word than ἀριθμοῦ.

[b] Frag. 59 Wachsmuth, 17 Diels *P.P.F.* iii. 188; Athen. 281 e (vol. iii. p. 264) reverses the order of the verses.

[c] *Cf.* Herrick's

"And while ye may, go marry;
For having lost your prime,
You may forever tarry."

[d] *P.L.G.*[5] 437, Sandys 582, Puech ii. 189, above, 564 d (p. 49), verse translation by J. A. Symonds, *Greek Poets*, p. 124, "Gather ye rosebuds while ye may." "Pflücket die Rose eh' sie verblüht."

[7] Heyne: μὲ A. [8] ἡλικία A.
[9] See p. 49, note 4: προσώπου μαρμαριζοίσας AC.

ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαν-
τος ἢ σιδάρου κεχάλκευ-
ται μέλαιναν καρδίαν

ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδί-
τας ἀτιμασθεὶς ἑλικογλεφάρου[1]
ἢ περὶ χρήμασι μοχθί-
ζει βιαίως ἢ γυναικείῳ θράσει
e ψυχὰν[2] φορεῖται[3] πᾶσαν ὁδὸν θεραπεύ-
ων. ἀλλ' ἐγὼ θεᾶς ἕκατι κηρὸς[4] ὡς δαχθεὶς ἕλᾳ

ἱρᾶν[5] μελισσᾶν[6] τάκομαι,[7] εὖτ' ἂν ἴδω
παίδων νεόγυιον ἐς ἥ-
βαν. ἐν δ' ἄρα καὶ Τενέδῳ[8]
Πειθώ τ' ἔναιεν καὶ Χάρις
υἱὸν ἀνᾶγ'[9] Ἀγησίλα.[10]

ὅλως δὲ τοὺς παιδικοὺς ἔρωτας τῶν ἐπὶ ταῖς θη-
λείαις προκρίνουσι πολλοί. παρὰ γὰρ τὰς ἄλλας[11]
ταῖς εὐνομουμέναις πόλεσιν ἐπὶ τῆς Ἑλλάδος
σπουδασθῆναι τόδε τὸ ἔθος. Κρῆτες γοῦν, ὡς ἔφην,
καὶ οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς περὶ τὰ παιδικὰ δαι-
μονίως ἐπτόηνται. Ἐχεμένης γοῦν ἐν τοῖς Κρη-
f τικοῖς οὐ τὸν Δία φησὶν ἁρπάσαι τὸν Γανυμήδην
ἀλλὰ Μίνωα. οἱ δὲ προειρημένοι Χαλκιδεῖς παρ'
αὐτοῖς φασιν[12] ἁρπασθῆναι τὸν Γανυμήδην ὑπὸ τοῦ
Διὸς καὶ τὸν τόπον δεικνύντες Ἁρπάγιον καλοῦσιν,[13]
ἐν ᾧ καὶ μυρρίναι διάφοροι πεφύκασιν. καὶ τὴν

[1] ἑλικοβλεφάρου A.
[2] Schneider: ψυχρὰν A.
[3] Musurus: φορεῖτε A.
[4] ἐγὼ θεᾶς ἕκατι κηρὸς Hermann, Bergk, Schneidewin: ἐγὼ δεκατιτάς κηροσ A.
[5] ἕλᾳ ἱρᾶν Bergk: ἐλεηρὰν A.
[6] Hermann: μέλισσαν A.
[7] τήκομαι A.
[8] Musurus: τονεδω A.
[9] ἀνᾶγ' added by Hermann.

of desire, hath a black heart forged, in cold flame, of adamant or of iron, and having no honour from Aphroditê of the quick glance, he either toileth brutally for wealth, or else through some woman's boldness his soul is borne along on every path while he serves her. But I, to grace the goddess,[a] like wax of the sacred bees[b] when smitten by the sun, am melted when I look at the young limbs of boys. And so, even in Tenedos, Persuasion came to dwell, and Charm reared the son of Hagesilas." Altogether, many persons prefer liaisons with males to those with females. For they maintain that this practice is zealously pursued in those cities throughout Hellas which, as compared with others, are ruled by good laws. The Cretans, for example, as I have said,[c] and the people of Chalcis in Euboea, have a marvellous passion for such liaisons. Echemenes, at any rate, says[d] in his *History of Crete* that it was not Zeus[e] who carried off Ganymede, but Minos.[f] But the Chalcidians just mentioned assert that Ganymede was carried off by Zeus in their own country, and they point out the place, calling it Harpagion[g]; in it grow excellent

[a] Aphroditê.

[b] On the mystical character of the bee see A. S. Pease's note on Cic. *De Div.* i. 72, P.-W. *s.* Biene, McCartney in *Papers of Michigan Acad.* xvi. 166.

[c] *Cf.* 561 e-f (p. 35).

[d] *F.H.G.* iv. 403.

[e] As Pindar avows, *Ol.* i. 44, x. 105.

[f] So Dosiadas ap. Schol. Townl. *Il.* xx. 234.

[g] *i.e.* the place of seizure, or carrying off.

---

[10] Bergk (Ἀγ-): ἀγησιλάου A.

[11] Wilamowitz: ταῖσ ἄλλαισ A. [12] φησιν A.

[13] χαλκιδεῖς δὲ ληροῦντες (!) δεικνύουσι παρ' αὐτοῖς τόπον ὃν ἁρπάγιον καλοῦσιν C.

πρὸς Ἀθηναίους δ' ἔχθραν διελύσατο Μίνως, καίπερ ἐπὶ θανάτῳ παιδὸς συστᾶσαν, Θησέως ἐρασθεὶς καὶ τὴν θυγατέρα τούτῳ γυναῖκα ἔδωκε Φαίδραν, ὡς Ζῆνις ἢ Ζηνεύς φησιν ὁ Χῖος ἐν τῷ περὶ τῆς πατρίδος συγγράμματι.

602 Ἱερώνυμος δ' ὁ περιπατητικὸς περισπουδάστους φησὶν γενέσθαι τοὺς τῶν παίδων ἔρωτας ὅτι πολλάκις ἡ τῶν νέων ἀκμὴ καὶ τὸ πρὸς ἀλλήλους ἑταιρικὸν συμφρονῆσαν πολλὰς τυραννίδας καθεῖλεν. παιδικῶν[1] γὰρ παρόντων ἐραστὴς πᾶν ὁτιοῦν ἕλοιτ' ἂν παθεῖν ἢ δειλοῦ δόξαν ἀπενέγκασθαι παρὰ τοῖς παιδικοῖς. ἔργῳ γοῦν τοῦτο ἔδειξεν ὁ συνταχθεὶς Θήβησιν ὑπὸ Ἐπαμινώνδου ἱερὸς λόχος καὶ ὁ κατὰ τῶν Πεισιστρατιδῶν θάνατος ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος γενόμενος, περὶ Σικελίαν δ' ἐν Ἀκράγαντι ὁ Χαρίτωνος καὶ Μελανίππου ἔρως.[2]

b Μελάνιππος δ' ἦν τὰ παιδικά, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ Ἐρωτικῶν. οὗτοι φανέντες ἐπιβουλεύοντες Φαλάριδι καὶ βασανιζόμενοι ἀναγκαζόμενοί τε λέγειν τοὺς συνειδότας οὐ μόνον οὐ κατεῖπον, ἀλλὰ καὶ τὸν Φάλαριν αὐτὸν εἰς ἔλεον τῶν βασάνων ἤγαγον, ὡς ἀπολῦσαι[3] αὐτοὺς πολλὰ ἐπαινέσαντα. διὸ καὶ ὁ Ἀπόλλων ἡσθεὶς ἐπὶ τούτοις ἀναβολὴν τοῦ θανάτου τῷ Φαλάριδι

[1] Schweighäuser : παίδων A.
[2] ἔρως added by Schweighäuser.
[3] CE : ἀπολαῦσαι A.

---

[a] Androgeôs, of whose violent death in Attic territory different accounts were given ; P.-W. *s.v.*, 2143.
[b] *F.H.G.* iv. 530.
[c] Hiller 104 ; the quotation extends to 602 e.

myrtle-trees. Even his quarrel with the Athenians was given up by Minos, though it had arisen over the murder of his son,[a] because he loved Theseus and gave him his daughter Phaedra to be his wife, according to Zenis (or Zeneus) of Chios in the *History* of his native land.[b]

Hieronymus the Peripatetic declares[c] these love affairs with boys became widespread because it often happened that the vigour of the young men, joined to the mutual sympathy of their companionship, brought many tyrannical governments to an end. For if their favourites were present, lovers would choose to suffer anything whatever rather than incur a reputation for cowardice in the mind of their favourites.[d] This was proved, at any rate, by the Sacred Band organized at Thebes by Epameinondas,[e] and by the murderous attempt on the Peisistratidae made by Harmodius and Aristogeiton; and again in Sicily at Agrigentum, by the love of Chariton and Melanippus. The latter was Chariton's favourite, according to Heracleides of Pontus in his work *On Love Affairs*.[f] It transpired that they were plotting against Phalaris, but on being put to the torture and compelled to speak, they not only refused to name their accomplices but even moved Phalaris to pity for their tortures, so that he released them with hearty praise. Wherefore Apollo, pleased at this action, favoured Phalaris with a postponement of his death,

[a] Plat. *Symp.* 179 A makes Phaedrus say the same.

[b] Plut. *Pelopidas* 18 attributes the earliest forming of the Band to Gorgidas. *Cf.* above, 561 f (p. 35): ἔνιοι δέ φασιν ἐξ ἐρασταῖν καὶ ἐρωμένων γενέσθαι τὸ σύστημα τοῦτο. P.-W vii. 1620, 36.

[f] Voss 52; it is uncertain whether the citations from Heracleides and Neanthes are from Hieronymus.

ἐχαρίσατο, τοῦτο ἐμφήνας τοῖς πυνθανομένοις τῆς Πυθίας ὅπως αὐτῷ ἐπιθῶνται· ἔχρησεν δὲ[1] καὶ περὶ
c τῶν ἀμφὶ τὸν Χαρίτωνα, προτάξας τοῦ ἑξαμέτρου τὸ πεντάμετρον, καθάπερ ὕστερον καὶ Διονύσιος ὁ Ἀθηναῖος ἐποίησε ὁ ἐπικληθεὶς Χαλκοῦς[2] ἐν τοῖς Ἐλεγείοις. ἐστὶν δὲ ὁ χρησμὸς ὅδε·

εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ,
θείας ἀγητῆρες ἐφαμερίοις φιλότατος.

διαβόητα δ' ἐστὶν καὶ τὰ ἐπὶ Κρατίνῳ τῷ Ἀθηναίῳ γενόμενα· ὃς μειράκιον ὢν[3] εὔμορφον, Ἐπιμενίδου καθαιροντος τὴν Ἀττικὴν ἀνθρωπείῳ αἵματι διά τινα μύση παλαιά, ὡς ἱστορεῖ Νεάνθης ὁ Κυζικηνὸς
d ἐν β' περὶ Τελετῶν, ἑκὼν αὐτὸν ἐπέδωκεν ὁ Κρατῖνος[4] ὑπὲρ τῆς θρεψαμένης· ᾧ καὶ ἐπαπέθανεν ὁ ἐραστὴς Ἀριστόδημος, λύσιν τ' ἔλαβε τὸ δεινόν. διὰ τοὺς τοιούτους οὖν ἔρωτας οἱ τύραννοι (πολέμιοι γὰρ αὐτοῖς αὗται αἱ φιλίαι) τὸ παράπαν ἐκώλυον τοὺς παιδικοὺς ἔρωτας,[5] πανταχόθεν αὐτοὺς ἐκκόπτοντες. εἰσὶ δὲ οἳ καὶ τὰς παλαίστρας ὥσπερ

[1] Wilamowitz: ἔχρησέν τε A. [2] Musurus: χαλκεὺς A.
[3] ὢν added by Dindorf, ὄν Schweighäuser.
[4] ὁ Κρατῖνος deleted as a gloss by Kaibel. The long intervening clauses may justify its retention.
[5] A paraphrase in the margin of A adds δεδειότες ἀυτῶν τὸ συνεστραμμένον τοῦ φρονήματος, "because they feared their unified spirit."

[a] See Diehl i. 74 note 1, and Athen. 669 d. This arrangement may have started with the practice in social gatherings of capping a verse quoted by another, Reitzenstein, *Epigr. u. Skol.* 51.

making a declaration of this to those who inquired of the Pythian priestess how they should attack Phalaris; Apollo also gave forth an oracle concerning Chariton and his followers, putting the pentameter before the hexameter, according to the method later followed by Dionysius of Athens, nicknamed the Bronze, in his *Elegies*.[a] The oracle is as follows: "Happy were Chariton and Melanippus, guides for mortals in divine loving."[b] Notorious are also the things that happened in the case of Cratinus of Athens; for he was a handsome lad at the time when Epimenides was purifying Attica by the sacrifice of human blood, because of some ancient acts of abomination, as recorded[c] by Neanthes of Cyzicus in the second book of his work *On the Rituals of Initiation*; and Cratinus voluntarily gave himself up in behalf of the land that had nurtured him; following him his lover Aristodemus also died, and so the terrible act was atoned for. Because of these love affairs, then, tyrants, to whom such friendships are inimical, tried to abolish entirely relations between males, extirpating them everywhere. Some even went so far as to set fire to the wrestling-schools, re-

+ Pl. Symp.

[b] The rhythm of pentameter and hexameter may be illustrated thus:

Háppy the twain, Charitón and Melanippus his friend,
Fór that to creatures of clay they were pátterns of godlike lóving.

[c] *F.H.G.* iii. 8, J. 2 A 195, Preller, *Polemo*, 95. According to Diog. Laert. i. 110 (*Vit. Epimen.*) the pollution mentioned was that caused by the death of the Cylonian conspirators at the hands of the Alcmeonidae, for which see Hdt. v. 71, Thuc. 1.126, Aristot. *Ath. Pol.* 1, Plut. *Solon* 12. J. H. Wright, *H.S.C.P.* iii. 39, dates the conspiracy between 636 and 628 B.C., and is inclined to reject the story of Epimenides' intervention; *op. cit.* 47 note 4, 66-70.

ἀντιτειχίσματα ταῖς ἰδίαις ἀκροπόλεσιν ἐνεπίμπρασάν τε καὶ κατέσκαψαν· ὡς ἐποίησε Πολυκράτης ὁ Σαμίων τύραννος.

Παρὰ δὲ Σπαρτιάταις, ὡς Ἄγνων φησὶν ὁ
e Ἀκαδημαϊκός, πρὸ τῶν γάμων ταῖς παρθένοις ὡς παιδικοῖς νόμος ἐστὶν ὁμιλεῖν. καὶ γὰρ ὁ νομοθέτης Σόλων ἔφη·

μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

Αἰσχύλος τε καὶ Σοφοκλῆς ἀναφανδὸν ἔφασαν, ὁ μὲν Μυρμιδόσιν·

σέβας δὲ μηρῶν ἁγνὸν[1] οὐκ ἐπῃδέσω,[2]
ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων,

ὁ δ' ἐν Κολχίσιν περὶ Γανυμήδους τὸν[3] λόγον ποιούμενος·

μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

οὐκ ἀγνοῶ δὲ ὅτι τὰ περὶ Κρατῖνον καὶ Ἀριστό-
f δημον πεπλάσθαι φησὶν Πολέμων ὁ περιηγητὴς ἐν ταῖς πρὸς τὸν Νεάνθην Ἀντιγραφαῖς. ὑμεῖς δέ,[4] ὦ Κύνουλκε, τὰς διηγήσεις ταύτας, κἂν ψευδεῖς ὦσιν, ἀληθεῖς εἶναι πιστεύετε, καὶ τὰ τοιαῦτα τῶν ποιημάτων ἃ περὶ τοὺς παιδικούς ἐστιν ἔρωτας ἰδίως[5] μελετᾶτε. . . .[6] τοῦ παιδεραστεῖν παρὰ πρώτων Κρητῶν εἰς τοὺς Ἕλληνας παρελθόντος, ὡς ἱστορεῖ Τίμαιος. ἄλλοι δέ φασι τῶν τοιούτων ἐρώτων κατάρξασθαι Λάιον ξενωθέντα[7] παρὰ

[1] Canter: *αγιον* A. [2] *οὐ κατῃδέσω* Plut.
[3] Kaibel: *τινὰ* A. [4] Schweighäuser: *τε* A.
[5] Kaibel: *ἡδίωσ* A, *ἡδέως* Schweighäuser.
[6] Lacuna indicated by Kaibel: the next sentence, which is incomplete, would be more appropriate at 601 e.

garding them as counter-walls to their own citadels, and so demolished them; this was done by Polycrates, the tyrant of Samos.

Among the Spartans, as Hagnon the Academic philosopher says, it was customary for girls before their marriage to be treated like favourite boys. Why, even the lawgiver Solon said[a]: "With longing glance at thighs and sweet lips." Likewise Aeschylus and Sophocles quite frankly said—the first in *The Myrmidons*[b]: "For the pure honour of the thighs thou hadst no reverence, O thankless one for those frequent kisses!" while the other, in *The Colchian Women*, speaking of Ganymede[c]: "Setting Zeus's majesty aflame with his thighs." But I am not ignorant that Polemon the Geographer asserts[d] in his *Replies to Neanthes* that the story of Cratinus and Aristodemus is a fiction. But you, Cynulcus, believe these stories to be true even if they are false, and you practise in private all such things in the poems as have to do with the love of boys. . . . The practice of paederasty came into Greece from the Cretans first, according to Timaeus.[e] But others declare that Laïus initiated such love-practices when he was the guest of Pelops; he became enamoured

[a] *P.L.G.*[4] ii. 50, Diehl i. 29. The verse preceding this is given by Plut. 751 B: *ἔσθ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσῃ* "whilst he pursues boys in the lovely flower of their youth." On which Apuleius, *Apol.* 9, p. 10 H, remarks: num igitur etiam Solonem fuisse serium virum et philosophum negabis, cuius ille lascivissimus versus est?

[b] *T.G.F.*[2] 44, *cf.* above, 601 a (p. 239).

[c] *T.G.F.*[2] 206.

[d] Preller 95, J. 2 A 191.

[e] *F.H.G.* i. 201.

[7] A: *ξενισθέντα* C.

Πέλοπι καὶ ἐρασθέντα τοῦ υἱοῦ αὐτοῦ Χρυσίππου,
603 ὃν καὶ ἁρπάσαντα[1] καὶ ἀναθέμενον εἰς ἅρμα εἰς
Θήβας φυγεῖν. Πράξιλλα δ' ἡ Σικυωνία ὑπὸ
Διός[2] φησιν ἁρπασθῆναι τὸν Χρύσιππον. καὶ
Κελτοὶ δὲ τῶν βαρβάρων καίτοι καλλίστας ἔχοντες
γυναῖκας παιδικοῖς μᾶλλον χαίρουσιν· ὡς πολλάκις
ἐνίους ἐπὶ ταῖς δοραῖς μετὰ δύο ἐρωμένων ἀναπαύε-
σθαι. Πέρσας δὲ παρ' Ἑλλήνων φησὶν Ἡρόδοτος
μαθεῖν τὸ παισὶν χρῆσθαι.

Φιλόπαις δ' ἦν ἐκμανῶς καὶ Ἀλέξανδρος ὁ
βασιλεύς. Δικαίαρχος γοῦν ἐν τῷ περὶ τῆς ἐν
b Ἰλίῳ Θυσίας Βαγώου τοῦ εὐνούχου οὕτως αὐτόν
φησιν ἡττᾶσθαι ὡς ἐν ὄψει θεάτρου ὅλου κατα-
φιλεῖν αὐτὸν ἀνακλάσαντα, καὶ τῶν θεατῶν ἐπι-
φωνησάντων[3] μετὰ κρότου οὐκ ἀπειθήσας πάλιν
ἀνακλάσας ἐφίλησεν. Καρύστιος δ' ἐν Ἱστορικοῖς
Ὑπομνήμασι Χάρωνι, φησί, τῷ Χαλκιδεῖ παῖς
καλὸς ἦν καὶ εἶχεν εὖ πρὸς αὐτόν. ὡς δ' Ἀλέξ-
ανδρος παρὰ Κρατερῷ αὐτὸν ἐπῄνεσεν γενομένου
πότου, ὁ Χάρων[4] ἐκέλευσε τὸν παῖδα καταφιλῆσαι
τὸν Ἀλέξανδρον· καὶ ὅς 'μηδαμῶς, εἶπεν, οὐ
c γὰρ οὕτως ἐμὲ εὐφρανεῖ ὡς σὲ λυπήσει.' ὥσπερ
γὰρ ἦν ἐρωτικὸς ὁ βασιλεὺς οὗτος, οὕτως καὶ πρὸς
τὸ καθῆκον ἐγκρατὴς καὶ πρὸς τὸ πρεπωδέστατον.
αἰχμαλώτους γοῦν λαβὼν τὰς Δαρείου θυγατέρας
καὶ τὴν γυναῖκα κάλλει διαπρεπεστάτην οὖσαν οὐ
μόνον ἀπέσχετο, ἀλλ' οὐδὲ ἐκείνας μαθεῖν ἐποίησεν

[1] ἁρπάξαντα C. [2] ὑπ' Οἰδίποδος Valckenaer.
[3] A: ἐπιφωνούντων CE. [4] Dutheil: κρατερὸσ A.

---

[a] *P.L.G.*[4] iii. 568, Edmonds iii. 78.
[b] The reading "by Oedipus" would make a better anti-

of Pelops's son, Chrysippus, whom he seized and placed in his chariot, and then fled to Thebes. Yet Praxilla of Sicyon says [a] that Chrysippus was carried off by Zeus.[b] And among barbarians the Celts also, though they have very beautiful women, enjoy boys more; so that some of them often have two lovers to sleep with on their beds of animal skins. As for the Persians, Herodotus says [c] they learned the use of boys from the Greeks.

King Alexander also was madly devoted to boys. Dicaearchus, at any rate, in his book *On the Sacrifice at Ilium* says [d] that he was so overcome with love for the eunuch Bagôas that, in full view of the entire theatre, he, bending over, caressed Bagôas fondly, and when the audience clapped and shouted in applause, he, nothing loath, again bent over and kissed him. But Carystius in *Historical Notes* says [e]: "Charon of Chalcis had a beautiful boy who was dear to him. But when Alexander, at a drinking-party in the house of Craterus, praised the boy, Charon bade him kiss Alexander; and Alexander said, 'Not so! For that will not delight me so much as it will pain you.' For, passionate as this king was, he was in like measure self-controlled when it came to the observance of decency and the best form. When, for example, he had taken captive the daughters of Darius and his wife as well, a woman of very distinguished beauty, he not only kept his hands off them, but he even re-

thesis, and seems to be supported by Schol. Eur. *Phoen.* 60, τινὲς δέ φασιν ὅτι Λάιος ἀνῃρέθη ὑπὸ Οἰδίποδος ὅτι ἀμφότεροι ἤρων Χρυσίππου.

[c] i. 135; see How and Wells, *ad loc.*

[d] *F.H.G.* ii. 241; Müller assigns the quotation to the Ἑλλάδος Βίος quoted 557 b (p. 13).

[e] *F.H.G.* iv. 357.

ὅτι εἰσὶν αἰχμάλωτοι, ἀλλ' ὡς ἔτι Δαρείου ἐν τῇ βασιλείᾳ ὄντος πάντα αὐταῖς χορηγεῖσθαι ἐκέλευσεν. διόπερ καὶ Δαρεῖος τοῦτο μαθὼν ηὔξατο τῷ Ἡλίῳ τὰς χεῖρας ἀνατείνας ἢ αὐτὸν βασιλεύειν
d ἢ Ἀλέξανδρον." Ῥαδαμάνθυος δὲ τοῦ δικαίου Ἴβυκος ἐραστήν φησι γενέσθαι Τάλων. Διότιμος δ' ἐν τῇ Ἡρακλείᾳ Εὐρυσθέα φησὶν Ἡρακλέους γενέσθαι παιδικά, διόπερ καὶ τοὺς ἄθλους ὑπομεῖναι. Ἀγαμέμνονά τε Ἀργύννου ἐρασθῆναι λόγος, ἰδόντα ἐπὶ τῷ Κηφισῷ νηχόμενον· ἐν ᾧ καὶ τελευτήσαντα αὐτὸν (συνεχῶς γὰρ ἐν τῷ ποταμῷ τούτῳ ἀπελούετο) θάψας εἵσατο[1] καὶ ἱερὸν αὐτόθι Ἀφροδίτης Ἀργυννίδος. Λικύμνιος[2] δ' ὁ Χῖος ἐν Διθυράμβοις Ἀργύννου[3] φησὶν ἐρώμενον Ὑμέναιον[4] γενέσθαι. Ἀντιγόνου δὲ τοῦ
e βασιλέως ἐρώμενος ἦν Ἀριστοκλῆς ὁ κιθαρῳδός, περὶ οὗ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Ζήνωνος Βίῳ γράφει οὕτως· "Ἀντίγονος ὁ βασιλεὺς ἐπεκώμαζε τῷ Ζήνωνι. καί ποτε καὶ μεθ' ἡμέραν ἐλθὼν ἔκ τινος πότου καὶ ἀναπηδήσας πρὸς τὸν Ζήνωνα ἔπεισεν αὐτὸν συγκωμάσαι αὐτῷ πρὸς Ἀριστοκλέα τὸν κιθαρῳδόν, οὗ σφόδρα ἦρα ὁ βασιλεύς."

Φιλομεῖραξ δὲ ἦν ὁ Σοφοκλῆς, ὡς Εὐριπίδης φιλογύνης. Ἴων γοῦν ὁ ποιητὴς ἐν ταῖς ἐπιγραφο-

[1] Leopardi, Casaubon: εἵσ αυτο A.
[2] Reinesius: ἀλκύμνιοσ A. [3] Διονύσου Wilamowitz.
[4] B, Musurus: ὑμαίνεον A.

---

[a] *P.L.G.*[4] iii. 247, Edmonds ii. 100.

frained from letting them know that they were captives, and ordered that everything be done for them just as if Darius were still king. Therefore Darius, on learning this, raised his arms and prayed to the Sun that either he or Alexander might be king." As for the righteous Rhadamanthys, Ibycus says [a] that Talôs was his lover. And Diotimus in the *Epic of Heracles* says [b] that Eurystheus was the favourite of Heracles, and for that reason Heracles patiently undertook his Labours. Again, Agamemnon loved Argynnus, so the story goes, having seen him swimming in the Cephisus river [c]; in which, in fact, he lost his life (for he constantly bathed in this river), and Agamemnon buried him and founded there a temple of Aphroditê Argynnis. Licymnius of Chios in his *Dithyrambs* says [d] that Hymenaeus was the beloved of Argynnus.[e] Aristocles the harp-singer was the beloved of King Antigonus,[f] concerning whom Antigonus of Carystus, in his *Life of Zeno*, writes as follows [g]: "King Antigonus used to have revels at the house of Zeno. On one occasion, coming away from a drinking-party at daybreak, he rushed to Zeno's and persuaded him to join in a revel at the house of Aristocles the harp-singer, whom the king loved greatly."

Sophocles was fond of young lads, as Euripides was fond of women.[h] The poet Ion, at any rate, in the

[b] *Frag. ep.* 213.
[c] The Boeotian Cephisus, not the Attic, is meant.
[d] *P.L.G.*[4] iii. 599, Edmonds iii. 338. Licymnius is quoted above, 564 c (p. 49).
[e] Or, reading Διονύσου, "of Dionysus."
[f] Gonatas.
[g] Wilamowitz 117, *S.V.F.* i. 10.
[h] Above, 557 e (p. 15).

μέναις Ἐπιδημίαις γράφει οὕτως· "Σοφοκλεῖ τῷ
f ποιητῇ ἐν Χίῳ συνήντησα ὅτε ἔπλει εἰς Λέσβον
στρατηγός, ἀνδρὶ παιδιώδει παρ' οἶνον καὶ δεξιῷ.
Ἑρμησίλεω[1] δὲ ξένου οἱ ἐόντος[2] καὶ προξένου
Ἀθηναίων ἑστιῶντος αὐτόν, ἐπεὶ παρὰ τὸ πῦρ
ἑστεὼς ὁ τὸν οἶνον ἐγχέων παῖς ὡραῖος καὶ ἐρυθρὸς[3]
ἐών . . ., δῆλος ἦν πτοεόμενος[4] εἶπέ τε· 'βούλει με
ἡδέως πίνειν;' φάντος δ' αὐτοῦ 'βραδέως τοίνυν
καὶ πρόσφερέ μοι καὶ ἀπόφερε τὴν κύλικα.' ἔτι
πολὺ μᾶλλον ἐρυθριάσαντος τοῦ παιδὸς εἶπε πρὸς
τὸν συγκατακείμενον· 'ὡς καλῶς Φρύνιχος ἐποίη-
σεν εἴπας·

604 λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι[5] φῶς ἔρωτος.'

καὶ πρὸς τόδε ἠμείφθη ὁ Ἐρετριεὺς ἢ Ἐρυθραῖος
γραμμάτων ἐὼν διδάσκαλος· 'σοφὸς μὲν δὴ σύ
γε εἶ, ὦ Σοφόκλεις, ἐν ποιήσει· ὅμως μέντοι γε
οὐκ εὖ εἴρηκε Φρύνιχος πορφυρέας εἰπὼν τὰς
γνάθους τοῦ καλοῦ. εἰ γὰρ ὁ ζωγράφος χρώματι
πορφυρέῳ ἐναλείψειε τοῦδε[6] τοῦ παιδὸς τὰς γνάθους,
οὐκ ἂν ἔτι καλὸς φαίνοιτο. οὐ κάρτα δεῖ[7] τὸ
καλὸν τῷ μὴ καλῷ φαινομένῳ εἰκάζειν.' ἀνα-
γελάσας[8] ἐπὶ τῷ Ἐρετριεῖ Σοφοκλῆς· 'οὐδὲ τόδε
b σοι ἀρέσκει ἄρα, ὦ ξένε, τὸ Σιμωνίδειον, κάρτα
δοκέον τοῖς Ἕλλησιν εὖ εἰρῆσθαι·

[1] ἑρμῆσ ἴλεω A. [2] Musurus: εοντεσ A.
[3] ὡραῖος καὶ added by Gulick, ἐρυθρὸς by Valckenaer, Schweighäuser. A verb is missing after ἐών.
[4] πτοεόμενος (Ionic) added by Gulick.
[5] Porson: παρηΐσιν A, παρειαῖσι CE.
[6] τοῦδε over an erasure A: τουδὶ edd.
[7] οὐ καρτα δη A, οὐ γὰρ δεῖ E.
[8] εἰκάζειν. ἀναγελάσας Coraës: εἰκαζειν ἂν γελασασ A.

work entitled *Sojournings*, writes as follows [a] : " I met Sophocles the poet at Chios when he was sailing as general to Lesbos [b] ; he was playful at wine, and clever. A Chian friend of his, Hermesilaus, who was the proxenus [c] of Athens, entertained him, when there appeared, standing beside the fire, the wine-pourer, a handsome, blushing boy ; Sophocles was plainly stirred and said : ' Do you want me to drink with pleasure ? ' And when the boy said ' Yes ' he said, ' Then don't be too rapid in handing me the cup and taking it away.' When the boy blushed still more violently he said to the man who shared his couch : ' That was a good thing Phrynichus wrote when he said [d] : " There shines upon his crimson cheeks the light of love." ' To this the man from Eretria (or Erythrae), who was a schoolmaster, made answer : ' Wise you are, to be sure, Sophocles, in the art of poetry ; nevertheless Phrynichus did not express himself happily when he described the handsome boy's cheeks as crimson. For if a painter should brush a crimson colour on this boy's cheeks he would no longer look handsome. Surely one must not compare the beautiful with what is obviously not beautiful.' [e] Laughing loudly at the Eretrian Sophocles said : ' So, then, stranger, you don't like that line of Simonides, either, though the Greeks

[a] *F.H.G.* ii. 46 ; the title refers to the visits of celebrated men to Ion's own island of Chios. The quotation, in Ionic Greek, extends to 604 d.

[b] 440 B.C. ; see Jebb's *Antigone*, Introd. p. xliii and note 2 ; Malten, *Herm.* liii. 165, Bruns, *Das liter. Porträt*, pp. 50–55.

[c] Corresponding to the modern consul, but a native of the city in which he served.

[d] *P.L.G.*[4] iii. 561, *T.G.F.*[2] 723 ; above, 564 f (p. 51).

[e] *Cf.* Lessing, *Laocoön* ii. : " bei den Alten [ist] die Schönheit das höchste Gesetz der bildenden Künste gewesen."

πορφυρέου ἀπὸ στόματος ἱεῖσα φωνὰν παρθένος, οὐδ' ὁ ποιητής, ἔφη, ὁ[1] λέγων χρυσοκόμαν Ἀπόλλωνα· χρυσέας γὰρ εἰ ἐποίησεν ὁ ζωγράφος τὰς τοῦ θεοῦ κόμας καὶ μὴ μελαίνας, χεῖρον ἂν ἦν τὸ ζωγράφημα. οὐδὲ ὁ[2] φὰς ῥοδοδάκτυλον· εἰ γάρ τις εἰς ῥόδεον χρῶμα βάψειε τοὺς δακτύλους, πορφυροβάφου χεῖρας καὶ οὐ γυναικὸς καλῆς ποιήσειεν ἄν.'[3] γελασάντων δὲ ὁ μὲν Ἐρετριεὺς ἐνωπήθη τῇ ἐπιρραπίζει, ὁ δὲ πάλιν τοῦ παιδὸς τῷ
c λόγῳ εἴχετο. εἴρετο γάρ μιν ἀπὸ τῆς κύλικος κάρφος τῷ μικρῷ δακτύλῳ ἀφαιρετέοντα, εἰ καθορᾷ τὸ κάρφος. φάντος δὲ καθορᾶν 'ἄπο τοίνυν φύσησον αὐτό, ἵνα μὴ πλύνοιτο[4] ὁ δάκτυλός σευ.'[5] προσαγαγόντος δ' αὐτοῦ τὸ πρόσωπον πρὸς τὴν κύλικα ἐγγυτέρω τὴν κύλικα τοῦ ἑαυτοῦ στόματος ἦγεν, ἵνα δὴ ἡ κεφαλὴ τῇ κεφαλῇ ἀσσοτέρα[6] γένηται. ὡς δ' ἦν οἷ' κάρτα πλησίον, προσλαβὼν[8] τῇ χειρὶ ἐφίλησεν. ἐπικροτησάντων δὲ πάντων σὺν γέλωτι καὶ βοῇ ὡς εὖ ὑπηγάγετο τὸν
d παῖδα, 'μελετῶ,[9] εἶπεν, στρατηγεῖν, ὦ ἄνδρες· ἐπειδήπερ Περικλῆς ποιεῖν μέν με ἔφη,[10] στρατηγεῖν δ' οὐκ ἐπίστασθαι. ἆρ' οὖν οὐ κατ' ὀρθόν μοι πέπτωκεν τὸ στρατήγημα;' τοιαῦτα πολλὰ δεξιῶς

[1] ὁ added by Kaibel: οὐδ' ὁ ποιήσας χρ. ἀπ. C.
[2] ὁ Ἕω Vollgraff.
[3] ἂν added by Jacobs: ποιήσει (with βάψει) C.
[4] Not πλύνηται *G.M.T.* 323.
[5] σευ Dindorf: εὖ A.
[6] ἀσσοτέρω Meineke, perhaps rightly.
[7] Musurus: ἡ A.
[8] προσλαβὼν A: περιλαβὼν Kaibel needlessly.
[9] μελέτω A, μελετέω Meineke.

think it very well expressed[a]: "From her crimson lips the maiden uttered speech"; nor again the poet who speaks of "golden-haired[b] Apollo"; for if a painter had made the god's locks golden instead of black, the picture would not be so good. And so for the poet who said "rosy-fingered"[c]; for if one should dip his fingers into a rose-dye, he would produce the hands of a purple-dyer and not those of a lovely woman.' There was a laugh at this, and while the Eretrian was squelched by the rebuke, Sophocles returned to his conversation with the boy. He asked him, as he was trying to pick off a straw from the cup with his little finger, whether he could see the straw clearly. When the boy declared he could see it Sophocles said, 'Then blow it away, for I shouldn't want you to get your finger wet.' As the boy brought his face up to the cup, Sophocles drew the cup nearer to his own lips, that the two heads might come closer together. When he was very near the lad, he drew him close with his arm and kissed him. They all applauded, amid laughter and shouting, because he had put it over the boy so neatly; and Sophocles said, 'I am practising strategy, gentlemen, since Pericles told me that whereas I could write poetry, I didn't know how to be a general. Don't you think my stratagem has turned out happily for me?' Many things of this sort he was wont to say and do cleverly

[a] *P.L.G.*[4] iii. 419, Diehl frag. 44, Edmonds ii. 324.

[b] In this Doric form χρυσοκόμας is found in Pind. *Ol.* vi. 41, but already used of Apollo by Tyrtaeus 3. 2, of Dionysus by Hesiod, *Theog.* 947.

[c] Often in Homer and Hesiod of Dawn. There are those who would translate "rosy-toed"; this passage proves that that was not the interpretation in Sophocles' time.

[10] με ἔφη Kaibel, ἔφη με Musurus, με om. A.

ἔλεγέν τε καὶ ἔπρησσεν ὅτε πίνοι ἢ πράσσοι.[1] τὰ μέντοι πολιτικὰ οὔτε σοφὸς οὔτε ῥεκτήριος ἦν, ἀλλ' ὡς ἄν τις εἷς τῶν χρηστῶν Ἀθηναίων."

Καὶ Ἱερώνυμος δ' ὁ Ῥόδιος ἐν τοῖς Ἱστορικοῖς Ὑπομνήμασίν φησιν ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τείχους ἀπήγαγε χρησόμενος αὐτῷ. ὁ μὲν οὖν
e παῖς τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέστρωσεν, τὴν δὲ τοῦ Σοφοκλέους χλανίδα περιεβάλοντο. μετ' οὖν τὴν ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο, καταλιπὼν τῷ Σοφοκλεῖ τὸ παιδικὸν ἱμάτιον. οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ συμβεβηκότος Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων[2] τὸ γεγονὸς καὶ αὐτός ποτε ἔφη τούτῳ κεχρῆσθαι τῷ παιδί, ἀλλὰ μηδὲν προσθεῖναι,[3] τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι.
f καὶ ὁ Σοφοκλῆς ἀκούσας ἐποίησεν εἰς αὐτὸν τὸ τοιοῦτον ἐπίγραμμα, χρησάμενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ, καί τι πρὸς μοιχείαν αὐτοῦ παραινιττόμενος·

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ' ἑτέραν[4]

[1] ἢ παίζοι Toup; ἢ πράσσοι deleted by Kaibel, following Valckenaer.
[2] διατωθάζοντος (in different constr.) C.
[3] πεπονθέναι Kaibel, ὑβρισθῆναι Morel; improbable and unnecessary.
[4] Musurus: φιλοῦντι ἑταίραν AC, κόρην Headlam.

when he drank or when he did anything.[a] In civic matters, however, he was neither wise nor efficient, but like any other individual among the better class of Athenians."[b]

Hieronymus of Rhodes says[c] in his *Historical Notes* that Sophocles lured a handsome boy outside the city wall to consort with him. Now the boy spread his own cloak on the grass, while they wrapped themselves in Sophocles' cape.[d] When the meeting was over the boy seized Sophocles' cape and made off with it, leaving behind for Sophocles his boyish cloak. Naturally the incident was much talked of; when Euripides learned of the occurrence he jeered, saying that he himself had once consorted with this boy without paying any bonus, whereas Sophocles had been treated with contempt for his licentiousness. When Sophocles heard that, he addressed to him the following epigram, which refers to the fable of the Sun and the North Wind,[e] and also alludes lightly to Euripides' practice of adultery: "Helios it was, and not a boy, Euripides, who by his heat stripped me of my cape; but with you, when you were embracing another man's wife, Boreas consorted. So you are

[a] On the good luck of Sophocles see G. Murray, *Greek Lit.* p. 232. For the double meaning of πράσσοι, "do" (perhaps here *sens. obsc.*) and "fare," *cf.* Plato, *Apol.* 40 A.

[b] Or simply, "any one picked from the good Athenians"; the adjective χρηστῶν "good" may be sarcastic.

[c] Hiller 96, who discusses the passage at some length. See also Nauck's edition of Euripides i. p. xix, note 23. For the epigram here attributed to Sophocles see *P.L.G.*[4] ii. 244, Diehl i. 67.

[d] The χλανίς was of finer material than the ἱμάτιον.

[e] The well-known Aesopic fable of the dispute between the two as to which was the more powerful. Babrius 18. 1, Avienus 4, Suidas *s.* σισύρα, Lafontaine vi. 3.

Βορρᾶς ὡμίλησε. σὺ δ' οὐ σοφός, ὃς τὸν Ἔρωτα
ἀλλοτρίαν σπείρων λωποδύτην ἀπάγεις.

Θεόπομπος δὲ ἐν τῷ περὶ τῶν συληθέντων ἐκ
605 Δελφῶν Χρημάτων Ἀσώπιχόν φησι τὸν Ἐπαμινώνδου ἐρώμενον τὸ Λευκτρικὸν τρόπαιον ἐντετυπωμένον ἔχειν ἐπὶ τῆς ἀσπίδος καὶ θαυμαστῶς αὐτὸν κινδυνεύειν, ἀνακεῖσθαί τε τὴν ἀσπίδα ταύτην ἐν Δελφοῖς ἐν τῇ στοᾷ. ἐν δὲ τῷ αὐτῷ συγγράμματι Θεόπομπος φιλογύναιον μέν φησι γεγονέναι Φάυλλον[1] τὸν Φωκέων τύραννον, φιλόπαιδα δὲ Ὀνόμαρχον· καὶ ἐκ τῶν τοῦ θεοῦ χαρίσασθαι τοῦτον εἰς Δελφοὺς παραγενομένῳ . . .[2] τῷ Πυθοδώρου τοῦ Σικυωνίου υἱῷ ἀποκειρομένῳ[3] τὴν
b κόμην, ὄντι καλῷ συγγενόμενον τὰ Συβαριτῶν ἀναθήματα, στλεγγίδια χρυσᾶ τέσσαρα. τῇ Δεινιάδου δὲ αὐλητρίδι Βρομιάδι[4] Φάυλλος καρχήσιον ἀργυροῦν Φωκαέων καὶ στέφανον[5] χρυσοῦν κιττοῦ Πεπαρηθίων. "αὕτη[6] δέ, φησί, καὶ ἔμελλε τὰ Πύθια αὐλεῖν, εἰ μὴ ὑπό' τοῦ πλήθους ἐκωλύθη. τῷ δὲ Λυκόλα τοῦ[8] Τριχονείου[9] υἱῷ Φυσκίδᾳ[10] ὄντι

[1] Musurus: φύλλον A.
[2] The boy's name is lost.
[3] ἀποκερουμένῳ Kaibel.
[4] Dindorf: βρομιαδια A, Βρομίᾳ Musurus.
[5] Casaubon: καισ . . . νον A.
[6] Cobet: αὐτὴ A. [7] Musurus: ἐπὶ A.
[8] τῷ before τοῦ deleted by Kaibel.
[9] Kaibel: τριχολέου A. [10] φυσκίδα A.

[a] *i.e.* as being no better than a foot-pad; λωποδύτης is a snatch-thief, specializing in the stealing of cloaks. Euripides by his adultery had made Love a thief. The verb ἀπάγεις plays on the double meaning "lure" (above, 604 d) and "arrest" (of summary legal action).

not so clever, because when sowing in another's field, you bring Eros into court for thieving." [a]

Theopompus in his treatise *On the Funds plundered from Delphi* says [b] that Asopichus, the favourite of Epameinondas, had the trophy erected at Leuctra [c] pictured on his shield, and that he risked extraordinary dangers; this shield was dedicated as a votive offering in the colonnade at Delphi.[d] In the same treatise Theopompus says that Phaÿllus, the tyrant of Phocis, was fond of women, Onomarchus, of boys; and from the treasures of Apollo the latter gave the offerings of the Sybarites, four golden strigils, to . . ., the son of Pythodorus of Sicyon, who had come to Delphi to dedicate his shorn locks,[e] and who, being beautiful, had accorded his favours to Onomarchus. To the flute-girl Bromias, daughter of Deiniades, Phaÿllus gave a silver karchesion,[f] a votive offering of the Phocaeans, and an ivy wreath of gold, the offering of the Peparethians. "This girl," Theopompus says, "would even have played the flute-accompaniment to the Pythian Games had she not been prevented from doing so by the populace. And (he adds) to Physcidas, the son of Lycolas of Tri-

[b] *F.H.G.* i. 308, J. 2 B 588, G. and H. 240.

[c] Epameinondas's victory over the Spartans at Leuctra occurred 371 B.C.

[d] See Frazer, *Pausanias* v. 282-286. The colonnade lies east of the temple of Apollo. W. B. Dinsmoor dates it *ca.* 506 B.C.

[e] A ceremony performed by boys on attaining their majority (at the age of eighteen), by girls when they were married.

[f] See vol. v. pp. 94-98, and Plate 2; for the loot obtained by the raiders of Delphi in the Sacred War, 355 B.C., see vol. iii. pp. 40-48.

καλῷ Ὀνόμαρχος[1] ἔδωκεν, φησί, στέφανον χρυσοῦν[2] δάφνης, Ἐφεσίων ἀνάθημα. οὗτος ὁ παῖς πρὸς Φίλιππον ἀχθεὶς ὑπὸ τοῦ πατρὸς κἀκεῖ προαγω-
c γευόμενος οὐδὲν λαβὼν ἀπεστάλη. τῷ Ἐπιλύκου τοῦ Ἀμφιπολίτου υἱῷ ὄντι καλῷ Δαμίππῳ . . .[3] Πλεισθένους[4] ἀνάθημα Ὀνόμαρχος[1] ἔδωκε. Φαρσαλίᾳ τῇ Θεσσαλίδι ὀρχηστρίδι δάφνης στέφανον χρυσοῦν Φιλόμηλος ἔδωκε, Λαμψακηνῶν ἀνάθημα. αὕτη ἡ Φαρσαλία ἐν Μεταποντίῳ ὑπὸ τῶν ἐν τῇ ἀγορᾷ μάντεων,[5] γενομένης φωνῆς ἐκ τῆς δάφνης τῆς χαλκῆς ἣν ἔστησαν Μεταποντῖνοι κατὰ τὴν Ἀριστέα τοῦ Προκονησίου ἐπιδημίαν, ὅτ' ἔφησεν ἐξ Ὑπερβορέων παραγεγονέναι, ὡς τάχιστα ὤφθη
d εἰς τὴν ἀγορὰν ἐμβαλοῦσα, ἐμμανῶν γενομένων τῶν μάντεων διεσπάσθη ὑπ' αὐτῶν.[6] καὶ τῶν ἀνθρώπων ὕστερον ἀναζητούντων τὴν αἰτίαν εὑρέθη διὰ τὸν τοῦ θεοῦ στέφανον ἀνῃρημένη."

Ὁρᾶτε οὖν καὶ ὑμεῖς, ὦ φιλόσοφοι, οἱ παρὰ φύσιν τῇ Ἀφροδίτῃ χρώμενοι καὶ ἀσεβοῦντες εἰς τὴν θεόν, μὴ τὸν αὐτὸν διαφθαρῆτε τρόπον. τότε γὰρ καὶ οἱ παῖδές εἰσιν καλοί, ὡς Γλυκέρα ἔφασκεν ἡ ἑταίρα, ὅσον ἐοίκασι γυναικὶ[7] χρόνον, καθάπερ

[1] ὁ νόμαρχος A.
[2] χρυσοῦν added by Meineke, following Schweighäuser.
[3] Lacuna marked by Schweighäuser.
[4] Κλεισθένους Meineke.
[5] νεανιῶν Schweighäuser, following Plutarch.
[6] ὑπ' αὐτῶν deleted by Kaibel.
[7] γυναικὶ AC; γυναιξὶ Meineke.

[a] In Aetolia. Polybius and Strabo have the form Τριχώνιον; see critical note 9, p. 260.

choneium,[a] a beautiful boy, Onomarchus gave a laurel wreath of gold, votive offering of the Ephesians. This boy was taken to Philip by his father and was there prostituted, and afterwards dismissed without reward. To Danippus, the son of Epilycus of Amphipolis, a beautiful boy, Onomarchus gave . . ., a votive offering of Pleisthenes.[b] To Pharsalia, the Thessalian dancing-girl, Philomelus[c] gave a laurel crown of gold, a votive offering of the Lampsacenes.[d] This Pharsalia lost her life in Metapontium at the hands of the soothsayers in the market-place; for a voice had issued from the bronze bay-tree which the Metapontines had set up when Aristeas of Proconesus visited them and declared that he had come from the land of the Hyperboreans; and no sooner was she spied setting foot in the market-place than the soothsayers became furious, and she was pulled to pieces by them. And when people later came to look into the cause it was found that she had been killed because of the wreath which belonged to the god."

So beware, you philosophers who indulge in passion contrary to nature, who sin against the goddess of love,—beware lest you also are destroyed in the same manner. For even boys are handsome, as the courtesan Glycera, in the account given by Clearchus, was wont to say, only so long as they look like a

[b] Not otherwise known. Possibly we should read Cleisthenes, see critical note 4.

[c] Athen. 264 c (vol. iii. p. 188).

[d] Plut. 397 F ascribes the offering to the Cnidians. He also says that lads in the market-place caused her death in their struggles to possess the gold wreath. On the journey of Aristeas to the Hyperboreans after it had been reported that he was dead see Herod. iv. 13-15, with How and Wells's note. Aristeas wrote a poem Ἀριμάσπεια describing his adventures. *Cf.* Pind. frag. 271 (*P.L.G.*[5] i. 486).

ἱστορεῖ Κλέαρχος. ἐμοὶ μὲν γὰρ καὶ κατὰ φύσιν
e δοκεῖ πεποιηκέναι Κλεώνυμος ὁ Σπαρτιάτης,
πρῶτος ἀνθρώπων εἰς ὁμηρείαν[1] λαβὼν παρὰ Μεταποντίνων γυναῖκας καὶ παρθένους τὰς ἐνδοξοτάτας καὶ καλλίστας διακοσίας, ὡς ἱστορεῖ Δοῦρις ὁ Σάμιος ἐν τῇ τρίτῃ τῶν περὶ Ἀγαθοκλέα Ἱστοριῶν· κἀγὼ δὲ κατὰ τὴν Ἐπικράτους Ἀντιλαΐδα

τἀρωτίκ' ἐκμεμάθηκα[2] ταῦτα παντελῶς
Σαπφοῦς, Μελήτου,[3] Κλεομένους, Λαμυνθίου.

ὑμεῖς δέ, ὦ φιλόσοφοι, κἂν ἐρασθέντες ποτὲ γυναικῶν ἐν ἐννοίᾳ λάβητε ὡς ἀδύνατόν ἐστι τὸ τυχεῖν, μάθετε . . .[4] παύονται οἱ ἔρωτες, ὥς φησι Κλέαρχος. τῇ τε γὰρ περὶ τὴν Πειρήνην
f χαλκῇ βοὶ βοῦς ἐπανέβη· καὶ γεγραμμένῃ κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ τῇ μὲν κύων, τῇ δὲ περιστερά, τῇ δὲ χὴν προσῆλθον καὶ ἐπεπήδησαν· φανέντων δὲ πᾶσι τούτοις ἀδυνάτων ἀπέστησαν, καθάπερ Κλείσοφος ὁ Σηλυμβριανός. οὗτος γὰρ τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν αὐτὸν ἐν τῷ ναῷ, ὡς πλησιάσαι δυνησόμενος[5]· καὶ ὡς ἡδυνάτει διά τε τὴν ψυχρότητα καὶ τὸ ἀντίτυπον τοῦ λίθου, τηνικαῦτα τῆς ἐπιθυμίας ἀπέστη καὶ προβαλ-

[1] ὁμήριαν A. [2] Dobree: ἐρωτικὰ μεμάθηκα A.
[3] Dobree: μέλη τοῦ A.
[4] Lacuna marked by Schweighäuser. Kaibel conjectures ὅτι ἀδυνατοῦσι. Read ὅτι τοῖς ἀδυνάτοις ?
[5] A: δυνάμενος CE.

---

[a] *F.H.G.* ii. 314.
[b] *F.H.G.* ii. 478, J. 2 A 144. Diod. xx. 104 says that Cleonymus, who had come with a large force to aid the Tarentines in their war against the Lucanians and Romans

woman.[a] It was, in my opinion, quite in accordance with nature that Cleonymus the Spartan acted when he, the first of men so to do, took as hostages from the Metapontines two hundred of their most eminent and beautiful matrons and maidens, as Duris of Samos records[b] in the third book of his *History of Agathocles and his Times*; and what is more, to put it as Epicrates does in *Anti-Laïs*[c]: "I have learned completely all the love-affairs of Sappho, Meletus, Cleomenes, and Lamynthius." But do you, my philosophers, if you ever fall in love with women and then see that it is impossible to attain your object, learn that (when love is impossible) it comes to an end, as Clearchus asserts.[d] For example, a bull once mounted the bronze cow of Peirenê; and a painted bitch, pigeon, and goose were approached, in the one case, by a dog, in the other, by a pigeon, in the last, by a gander leaping upon them; but when it became clear to all these creatures that their desires were impossible, they desisted, like Cleisophus of Selymbria. For he, becoming enamoured of the statue in Parian marble at Samos, locked himself up in the temple, thinking he should be able to have intercourse with it; and since he found that impossible on account of the frigidity and resistance of the stone, he then and there desisted from that desire and placing before him a small piece of flesh he

(303 B.C.), seized the women, *οὐχ οὕτω τῆς περὶ τὴν πίστιν ἀσφαλείας χάριν ὡς τῆς ἰδίας ἕνεκεν λαγνείας*, *i.e.* to satisfy his own lust.

[c] Kock ii. 284. For Meletus see vol. v. p. 502; for Lamynthius see above, 597 a (p. 217). Cleomenes may be the rhapsodist mentioned below, 620 d, 638 d, or the dithyrambic poet, 402 a (vol. iv. p. 320), Schol. Aristoph, *Nub.* 332.

[d] *F.H.G.* ii. 314.

λόμενός τι[1] σαρκίον ἐπλησίασεν. τῆς πράξεως ταύτης μνημονεύει καὶ Ἄλεξις ὁ ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ δράματι Γραφή,[2] λέγων ὧδε·

606 γεγένηται δ', ὡς λέγουσι,[3] κἀν Σάμῳ
τοιοῦθ' ἕτερον. λιθίνης ἐπεθύμησεν κόρης
ἄνθρωπος ἐγκατέκλεισέ θ' αὐτὸν[4] τῷ νεῷ.

καὶ Φιλήμων τοῦ αὐτοῦ μνημονεύων φησίν·

ἀλλ' ἐν Σάμῳ μὲν τοῦ[5] λιθίνου ζῴου[6] ποτὲ
ἄνθρωπος ἠράσθη τις· εἶτ' εἰς τὸν νεὼν
κατέκλεισεν αὐτόν.

Κτησικλέους δ' ἐστὶν ἔργον τὸ ἄγαλμα, ὥς φησιν Ἀδαῖος ὁ Μιτυληναῖος ἐν τῷ περὶ Ἀγαλματοποιῶν. Πολέμων δὲ ἢ ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλ-
b λαδικὸν "ἐν Δελφοῖς, φησίν, ἐν τῷ' Σπινατῶν[8] θησαυρῷ παῖδές εἰσιν λίθινοι δύο, ὧν τοῦ ἑτέρου Δελφοί φασι τῶν θεωρῶν ἐπιθυμήσαντά τινα συγκατακλεισθῆναι καὶ τῆς ὁμιλίας μισθὸν[9] καταλιπεῖν στέφανον. φωραθέντος δ' αὐτοῦ τὸν θεὸν χρωμένοις τοῖς Δελφοῖς συντάξαι ἀφεῖναι τὸν ἄνθρωπον· δεδωκέναι γὰρ αὐτὸν μισθόν."

Καὶ ἄλογα δὲ ζῷα ἀνθρώπων ἠράσθη· Σεκούνδου μέν τινος βασιλικοῦ οἰνοχόου ἀλεκτρυών· ἐκαλεῖτο δὲ ὁ μὲν ἀλεκτρυὼν Κένταυρος, ὁ δὲ Σεκοῦνδος ἦν

[1] Meineke: *προβαλλόμενος τὸ* A.
[2] *γραφὴ* Schweighäuser: *γραφῇ* A, *γραφῇ* Kaibel. But the nominative is used when the full phrase *ἐν τῷ ἐπιγραφομένῳ δράματι* precedes; *cf.* Gildersleeve, *S.C.G.* § 6.
[3] *δὲ ὡς λέγουσιν* A.
[4] Casaubon: *ἐγκατέκλεισέν θ' ἑαυτὸν* A.
[5] *μεν τοῦ* A: *μέντοι* Naber.
[6] *ζώιου* A: *ξοάνου* Bentley.

consorted with that. This deed is mentioned by the poet Alexis in the play entitled *A Picture*[a]: "Another case of a like sort occurred, they say, in Samos. A man conceived a passion for a stone maiden, and locked himself up in the temple." And Philemon, mentioning the same, says[b]: "Why, once on a time, in Samos, a man fell in love with the stone image; thereupon he locked himself in the temple." Now the statue is the work of Ctesicles, as Adaeus of Mytilenê says in his work *On Sculptors*.[c] But Polemon, or whoever wrote the work entitled *Of Hellas*, says[d] that "at Delphi, in the treasury of the Spinatae,[e] are two lads carved in stone; for one of these, the Delphians say, a pilgrim[f] to the shrine once conceived a passion and locked himself up with it, leaving behind him a wreath as the price of the intercourse. When his act was detected the god ordained to the Delphians who consulted his oracle that they should release the fellow; for, the god declared, he had paid the price."

What is more, dumb animals have fallen in love with human beings: a cock fell in love with a certain Secundus, royal wine-pourer; the cock was called Centaur, and Secundus was a slave of Nicomedes,

[a] Kock ii. 312. *Cf.* the story of Pygmalion and Galateia, Ovid, *Met.* x. 243.
[b] Kock ii. 521.
[c] For Adaeus *cf.* 210 b (vol. ii. p. 448).
[d] Preller 56.
[e] Inhabitants of Spina, on the Po River; see critical note 8.
[f] The word *θεωρός* includes the notion of official delegate sent to represent his country at a festival, as well as that of ordinary worshipper.

[7] Dalechamps: *ἢ ἐν τῶι* A. [8] Meineke: *πινακων* A.
[9] *μισθὸν* added by Schweighäuser (*cf.* below).

οἰκέτης Νικομήδους τοῦ Βιθυνῶν βασιλέως, ὡς
c ἱστορεῖ Νίκανδρος ἐν ἕκτῳ Περιπετειῶν. ἐν
Αἰγίῳ[1] δὲ παιδὸς ἠράσθη χήν, ὡς Κλέαρχος ἱστορεῖ
ἐν πρώτῳ Ἐρωτικῶν. τὸν δὲ παῖδα τοῦτον Θεό-
φραστος ἐν τῷ Ἐρωτικῷ Ἀμφίλοχον καλεῖσθαί
φησι καὶ τὸ γένος Ὠλένιον εἶναι· Ἑρμείας δ' ὁ τοῦ
Ἑρμοδώρου, Σάμιος δὲ γένος, ἐρασθῆναι Λακύδους
τοῦ φιλοσόφου. ἐν δὲ Λευκαδίᾳ φησὶν Κλέαρχος
οὕτως ἐρασθῆναι ταὼν παρθένου ὡς καὶ τὸν βίον
ἐκλιπούσῃ συναποθανεῖν. δελφῖνα δ' ἐν Ἰασῷ
παιδὸς ἐρασθῆναι λόγος, ὡς ἱστορεῖ Δοῦρις ἐν τῇ
ἑνάτῃ. ὁ δὲ λόγος ἐστὶν αὐτῷ περὶ[2] Ἀλεξάνδρου
d καὶ λέγει οὕτως· "μετεπέμψατο δὲ καὶ τὸν ἐκ τῆς
Ἰασοῦ παῖδα. περὶ γὰρ τὴν πόλιν ταύτην Διονύσιός
τις ἦν παῖς, ὃς μετὰ τῶν ἄλλων ἐκ παλαίστρας
παραγινόμενος ἐπὶ τὴν θάλατταν ἐκολύμβα. δελφὶς
δὲ πρὸς αὐτὸν ἐκ τοῦ πελάγους ἀπήντα καὶ
ἀναλαμβάνων ἐπὶ τὰ νῶτα ἔφερεν ἐπὶ πλεῖστον
νηχόμενος καὶ πάλιν ἀποκαθίστα εἰς τὴν γῆν."
φιλανθρωπότατον δέ ἐστι καὶ συνετώτατον ζῷον[3] ὁ
δελφὶς χάριν τε ἀποδιδόναι ἐπιστάμενον. Φύλαρχος
e γοῦν ἐν τῇ δωδεκάτῃ "Κοίρανος, φησίν, ὁ Μιλή-
σιος ἰδὼν ἁλιέας τῷ δικτύῳ λαβόντας δελφῖνα καὶ
μέλλοντας κατακόπτειν ἀργύριον δοὺς καὶ παρ-

[1] Aelian: ἐναγειω A. [2] ὁ before περὶ deleted by early edd.
[3] ζῷον C: τὸ ζῷον A.

[a] Of Chalcedon, *F.H.G.* iv. 462. The work apparently dealt with the vicissitudes of the Bithynian kings. The king here was probably Nicomedes II (149–148 B.C.); *cf.* 496 e (vol. v. p. 214). Aelian, *N.A.* xii. 37, tells the same story, citing Philo.

[b] *F.H.G.* ii. 314; so Aelian, *N.A.* v. 29, on the authority of Theophrastus.

the king of Bithynia, as recorded by Nicander [a] in the sixth book of his *Catastrophes*. In Aegium a goose fell in love with a boy, as Clearchus records in the first book of his *Love Stories*.[b] Of this boy Theophrastus in his essay *On Love* says [c] that he was named Amphilochus and that his family was from Olenê [d]: and that Hermeias, the son of Hermodorus, a Samian by birth, says that a goose became enamoured of the philosopher Lacydes. In Leucadia, again, Clearchus says,[e] a peacock was so much in love with a maiden that when she departed this life it died with her. There is a story in Iasus that a dolphin fell in love with a boy, as Duris records in his ninth book.[f] He is talking about Alexander, and his account follows: "He summoned also the boy of Iasus. For near this city lived a boy named Dionysius who, in company with the other boys of the wrestling-school, went to the seashore and began to dive in. A dolphin came up to him out of the sea, and taking him on his back swam off with him a very great distance, setting him down again safely on the shore." Moreover, the dolphin is a most friendly animal to man and extremely intelligent, and knows how to repay kindness with gratitude. Phylarchus, at any rate, says in the twelfth book [g]: "Coeranus of Miletus saw that some fishermen had caught a dolphin in their net and were on the point of cutting it up; after entreating them and paying

[a] Frag. 109 Wimmer.
[b] In Elis.
[c] *F.H.G.* ii. 314.
[d] *F.H.G.* ii. 473, J. 2 A 140, Plut. 1205, Aelian, *N.A.* vi. 15, Pliny, *N.H.* ix. 8, Pliny, *Ep.* ix. 33. See A. Marx, *Gr. Märchen v. dankbaren Tieren*. pp. 5-29.
[g] *F.H.G.* i. 340, J. 2 A 168; *cf.* Plut. 985 A, Aelian, *N.A.* viii. 3.

cf. Regenbogen Theophr. P-W 1432

αιτησάμενος[1] ἀφῆκεν εἰς τὸ πέλαγος. καὶ μετὰ
ταῦτα ναυαγίᾳ χρησάμενος περὶ Μύκονον καὶ
πάντων ἀπολομένων[2] μόνος ὑπὸ δελφῖνος ἐσώθη ὁ
Κοίρανος. τελευτήσαντος δ' αὐτοῦ γηραιοῦ ἐν τῇ
πατρίδι καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλατταν γιγνο-
μένης κατὰ τύχην ἐν τῇ Μιλήτῳ, ἐν τῷ λιμένι
πλῆθος δελφίνων ἐφάνη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μικρὸν
f ἀπωτέρω τῶν συνεκκομιζόντων τὸν Κοίρανον,
ὡσεὶ συνεκφερόντων καὶ συγκηδευόντων τὸν ἄν-
θρωπον." ὁ δὲ αὐτὸς ἱστορεῖ Φύλαρχος διὰ τῆς
εἰκοστῆς ὅσην ἐλέφας τὸ ζῷον φιλοστοργίαν ἔσχεν
εἰς παιδίον. γράφει δ' οὕτως· "τούτῳ δὲ τῷ
ἐλέφαντι συνετρέφετο θήλεια ἐλέφας ἣν Νίκαιαν
ἐκάλουν· ᾧ τελευτῶσα ἡ τοῦ τρέφοντος[3] Ἰνδοῦ γυνὴ
παιδίον αὐτῆς τριακοσταῖον παρακατέθετο. ἀπο-
θανούσης δὲ τῆς ἀνθρώπου δεινή τις φιλοστοργία
γέγονε τοῦ θηρίου πρὸς τὸ παιδίον· οὔτε γὰρ ἀπ'
αὐτοῦ χωριζόμενον τὸ βρέφος ὑπέμενεν, τὸ δὲ[4] εἰ
μὴ βλέποι τὸ παιδίον ἤσχαλλεν. ὅτ' οὖν ἡ τροφὸς
ἐμπλήσειεν αὐτὸ γάλακτος,[5] ἀνὰ μέσον τῶν ποδῶν
607 τοῦ θηρίου ἐτίθει αὐτὸ ἐν σκάφῃ.[6] εἰ δὲ μὴ τοῦτο
πεποιήκοι,[7] τροφὴν οὐκ ἐλάμβανεν ἡ ἐλέφας. καὶ
μετὰ ταῦτα δι' ὅλης τῆς ἡμέρας τοὺς καλάμους
λαμβάνων ἐκ[8] τῶν παρατιθεμένων χορτασμάτων
καθεύδοντος τοῦ βρέφους τὰς μυίας ἀπεσόβει· ὅτε
δὲ κλαίοι, τῇ προβοσκίδι τὴν σκάφην ἐκίνει καὶ

[1] Dobree: παραστησάμενοσ A.
[2] Casaubon: ἀπολωμένων A.
[3] τρέφοντος CE, Aelian: om. A.
[4] Wilamowitz: ὁ δὲ ACE.
[5] CE: τοῦ γάλακτος A.
[6] CE Aelian, *cf.* below: σκάφει A.
[7] CE: πεποιήκει A.
[8] Kaibel: καὶ A, om. CE.

them money he let the dolphin go in the sea. Some time later he met with shipwreck off Myconos, and when all the rest were lost, Coeranus alone was saved by a dolphin.[a] When he died in old age in his native city his funeral chanced to take place in Miletus by the seashore; and a school of dolphins appeared that day in the harbour, a short distance from the company attending the remains of Coeranus, just as if they were joining in the funeral and the mourning for the man." Phylarchus, again, records in the twentieth book what great affection the animal known as the elephant[b] had for a baby. He writes as follows[c]: "With this elephant was kept a female elephant which they called Nicaea; when the wife of the Indian keeper was dying she placed her month-old baby in its care. On the woman's death a remarkable affection for the child arose in the animal; in fact neither could the babe endure being separated from her, and she was distressed whenever the baby was out of her sight. So, whenever the nurse had satisfied the child with milk, she would place it in its cradle right between the animal's feet. Whenever she failed to do this, the elephant would refuse to take food. Then, throughout the livelong day, she would take the stalks from the fodder set before her and brush away the flies from the baby while it slept; and whenever it cried, she would rock the cradle with her trunk and put it to sleep.

[a] Hence, according to Plut. *loc. cit.*, the verse of Archilochus (frag. 117 Diehl): *πεντήκοντ' ἀνδρῶν λίπε Κοίρανον ἥπιος Ποσειδῶν.*

[b] The word *ἐλέφας* in earlier Greek meant ivory; hence, perhaps, the specifying phrase *ἐλέφας τὸ ζῷον.*

[c] *F.H.G.* i. 343, J. 2 A 171; Aelian, *N.A.* xi. 14, adds interesting details.

κατεκοίμιζεν αὐτό. τὸ δ' αὐτὸ ἐποίει καὶ ὁ ἄρρην ἐλέφας πολλάκις."

Ὑμεῖς δέ, ὦ φιλόσοφοι, καὶ τῶν δελφίνων καὶ τῶν ἐλεφάντων ἐστὲ κατὰ τὴν γνώμην ἀγριώτεροι
SVP I 451 ἔτι τε ἀνημερώτεροι, καίτοι Περσαίου τοῦ Κιτιέως
b ἐν τοῖς Συμποτικοῖς Ὑπομνήμασιν βοῶντος καὶ λέγοντος "περὶ ἀφροδισίων ἁρμοστὸν εἶναι ἐν τῷ οἴνῳ μνείαν ποιεῖσθαι· καὶ γὰρ πρὸς ταῦτα ἡμᾶς ὅταν ὑποπίωμεν ἐπιρρεπεῖς εἶναι. καὶ ἐνταῦθα τοὺς μὲν ἡμέρως τε καὶ μετρίως αὐτοῖς χρωμένους ἐπαινεῖν δεῖ, τοὺς δὲ θηριωδῶς καὶ ἀπλήστως ψέγειν. καὶ εἰ διαλεκτικοὶ συνελθόντες εἰς πότον περὶ συλλογισμῶν διαλέγοιντο, ἀλλοτρίως ἂν αὐτοὺς ὑπολάβοι τις ποιεῖν τοῦ παρόντος καιροῦ, ὅτε[1] καὶ ὁ καλὸς κἀγαθὸς ἀνὴρ μεθυσθείη ἄν. οἱ δὲ βουλόμενοι σωφρονικοὶ εἶναι σφόδρα μέχρι τινὸς
c διατηροῦσιν ἐν τοῖς πότοις τὸ τοιοῦτον· εἶθ' ὅταν παρεισδυῇ[2] τὸ οἰνάριον, τὴν πᾶσαν ἀσχημοσύνην ἐπιδείκνυνται· ὃ καὶ πρώην ἐγένετο ἐπὶ τῶν ἐξ Ἀρκαδίας θεωρῶν πρὸς Ἀντίγονον παραγενομένων. ἐκεῖνοι[3] γὰρ ἠρίστων σφόδρα σκυθρωπῶς καὶ εὐσχημόνως, ὡς ᾤοντο, οὐχ ὅτι ἡμῶν τινα προσβλέποντες, ἀλλ' οὐδὲ ἀλλήλους. ὡς δὲ ὁ πότος προέβαινεν καὶ εἰσῆλθεν ἄλλα τε ἀκροάματα καὶ αἱ Θετταλαὶ αὗται ὀρχηστρίδες, καθάπερ αὐταῖς ἔθος ἐστίν, ἐν ταῖς διαζώστραις γυμναὶ ὠρχοῦντο, οὐκ

[1] ὅτε added by Kaibel: καὶ ὁ καλὸς γὰρ κἀγαθὸς ἀνὴρ C.
[2] παρεισδυῇ Cobet: παραδυῇ ACE.
[3] ἐκεῖνοι B, Musurus: ἐκεῖνοι τε A.

[a] See *F.H.G.* ii. 623, Athen. 140 b, 162 b (vol. ii. pp. 138, 236), *S.V.F.* i. 100. The derisive words of Myrtilus, the speaker here, are directed against the hypocrisy of

And the same thing was often done by the male elephant also."

You, however, my philosophers, are more cruel and more untamed in your hearts than dolphins and elephants, although Persaeus of Citium in his *Convivial Notes* loudly proclaims [a] that "it is appropriate for a man in his cups to make mention of sexual matters; for, he said, we are naturally prone to this when we tipple. In those circumstances those who indulge in them in a gentlemanly and moderate fashion are to be praised, but those who do it in beastly and insatiate ways are to be blamed. And if men skilled in dialectic should converse on the subject of syllogisms when they have gathered for a drinking-party, one might protest that they were acting in a way alien to the occasion, when even a polite gentleman might get drunk. Moreover, people who desire very earnestly to be sober maintain that ideal up to a certain point in their drinking-parties; later, when the spirit of the wine insinuates itself,[b] then they display the entire picture of indecency; this actually happened the other day when the delegation from Arcadia visited Antigonus.[c] For they were breakfasting very solemnly and decently, according to their notions, not only not glancing at any of us, but even casting no looks at one another. But when the drinking was going on apace and there entered, among other entertaining shows, those Thessalian dancing-girls who danced, as their custom is, in loincloths without other covering, the men could no longer

the Stoics. Persaeus was a pupil of Zeno, *cf.* Diog. Laert. vii. 1. 8.

[b] Lit. "slips in the wrong way."; Clem. Alex. *Paed.* ii. 2 (i. 174. 12 Stählin), *ἀκροσφαλὴς ἡ τοῦ οἴνου παρείσδυσις.*

[c] Gonatas.

d ἔτι κατεῖχον αὐτοὺς οἱ ἄνδρες, ἀλλὰ ἐκ τῶν κλινῶν ἀνώρμων καὶ ἐβόων ὡς θαυμαστόν τι θέαμα θεώμενοι· καὶ μακάριον τὸν βασιλέα ἀπεκάλουν ὅτι ἔξεστιν αὐτῷ τούτων ἀπολαύειν, καὶ ἕτερα τούτοις παραπλήσια πάνυ πολλὰ τῶν φορτικῶν ἐποίουν. τῶν φιλοσόφων δέ τις συμπίνων ἡμῖν εἰσελθούσης αὐλητρίδος καὶ οὔσης εὐρυχωρίας παρ' αὐτῷ, βουλομένης τῆς παιδίσκης παρακαθίσαι οὐκ ἐπέτρεψεν, ἀλλὰ σκληρὸν αὐτὸν[1] εἰσῆγεν. εἶθ' ὕστερον πωλουμένης τῆς αὐλητρίδος, καθάπερ ἔθος ἐστὶν ἐν τοῖς e πότοις γίνεσθαι, ἐν τῷ[2] ἀγοράζειν πάνυ νεανικὸς[3] ἦν καὶ τῷ πωλοῦντι, ἄλλῳ τινὶ θᾶττον προσθέντι,[4] ἠμφισβήτει καὶ οὐκ ἔφη αὐτὸν πεπρακέναι· καὶ τέλος εἰς πυγμὰς ἦλθεν ὁ σκληρὸς ἐκεῖνος φιλόσοφος καὶ ἐν ἀρχῇ οὐδ' ἂν παρακαθίσαι ἐπιτρέπων τῇ αὐλητρίδι." μήποτε αὐτός ἐστιν ὁ[5] Περσαῖος ὁ περὶ τῆς αὐλητρίδος διαπυκτεύσας· φησὶν γὰρ Αντίγονος ὁ Καρύστιος ἐν τῷ περὶ Ζήνωνος γράφων ὧδε· "Ζήνων ὁ Κιτιεὺς Περσαίου παρὰ πότον αὐλητρίδιον πριαμένου καὶ διοκνοῦντος εἰσαγαγεῖν πρὸς αὐτὸν διὰ τὸ τὴν αὐτὴν οἰκεῖν f οἰκίαν, συναισθόμενος εἰσείλκυσε[6] τὴν παιδίσκην καὶ συγκατέκλεισε τῷ Περσαίῳ." οἶδα δὲ καὶ Πολύστρατον τὸν Ἀθηναῖον, μαθητὴν δὲ Θεοφράστου, τὸν ἐπικαλούμενον Τυρρηνόν, ὅτι τῶν αὐλητρίδων τὰ ἱμάτια περιέδυεν.

[1] αὐτὸν A. [2] ἐν τῷ Musurus: ἐν τε τῶι A.
[3] Casaubon: νεανίσκοσ A. [4] Casaubon: προσθέντοσ A.
[5] ὁ deleted by Kaibel. [6] Kaibel: συνείλκυσε A.

[6] Lit. "staged himself (like an actor) as a hard person." For the phrase *cf.* Aristot. *Rhet.* iii. 16. 10, εἰσάγαγε σεαυτόν ποιόν τινα. [5] Lit. "youthful"; see critical note 3.

restrain themselves, but started up from their couches and shouted aloud at the wonderful sight they were seeing; and they hailed the king as a happy man because he was privileged to enjoy these things, and they proceeded to commit very many other vulgarities similar to that. There was a philosopher drinking with us; and when a flute-girl entered and desired to sit beside him, although there was plenty of room for the girl at his side, he refused to permit it, and assumed an attitude of insensibility.[a] But later, when the flute-girl was put up for the highest bidder, as is the custom in drinking-bouts, he became very vehement[b] during the bargaining, and when the auctioneer too quickly assigned the girl to some one else, he expostulated with him, denying that he had completed the sale, and finally that insensible philosopher came to blows, although at the beginning he would not permit the flute-girl even to sit beside him." Possibly it was Persaeus himself who got into the fist-fight over the flute-girl; for Antigonus of Carystus mentions him in his work *On Zeno*, writing as follows[c]: "Zeno of Citium, when Persaeus bought a little[d] flute-player at a drinking-party, but hesitated to take her home because he lived in the same house with Zeno, no sooner perceived this than he pulled the lass into the house and shut her up with Persaeus." I know, too, of Polystratus of Athens, nicknamed the Etruscan,[e] and a disciple of Theophrastus, that he used to clothe himself in the garments of the flute-girls.

[c] Wilamowitz 117.

[d] The diminutive is used in contempt; *cf.* Plato, *Symp.* 215 c *φαύλη αὐλητρίς*, Theopomp. ap. Athen. 532 d (v. 402).

[e] *Cf.* the customs of the Etruscans, Athen. 517 d (vol. v. p. 328).

Ἐσπουδάκεσαν δὲ καὶ οἱ βασιλεῖς περὶ τὰς μουσουργούς, ὡς δῆλον ποιεῖ Παρμενίων ἐν τῇ πρὸς Ἀλέξανδρον Ἐπιστολῇ ἣν ἐπέστειλεν αὐτῷ μετὰ τὸ Δαμασκὸν ἑλεῖν καὶ τῆς ἀποσκευῆς τῆς Δαρείου ἐγκρατὴς γενέσθαι. καταριθμησάμενος
608 οὖν τὰ αἰχμάλωτα γράφει καὶ ταῦτα· "παλλακίδας εὗρον μουσουργοὺς τοῦ βασιλέως τριακοσίας εἴκοσι ἐννέα, ἄνδρας στεφανοπλόκους ἓξ καὶ τεσσαράκοντα, ὀψοποιοὺς διακοσίους ἑβδομήκοντα ἑπτά, χυτρεψοὺς εἴκοσι ἐννέα, γαλακτουργοὺς τρεισκαίδεκα, ποτηματοποιοὺς ἑπτακαίδεκα, οἰνοηθητὰς ἑβδομήκοντα, μυροποιοὺς τεσσαράκοντα."

Καὶ ὑμῖν δέ, ὦ ἑταῖροι, λέγω ὅτι οὐδέν ἐστιν ὀφθαλμῶν[1] οὕτως εὐφραντικὸν ὡς γυναικὸς κάλλος. ὁ γοῦν τοῦ τραγικοῦ Χαιρήμονος Οἰνεὺς περὶ παρθένων τινῶν διηγούμενος ὧν ἐθεᾶτό[2] φησιν ἐν τῷ ὁμωνύμῳ δράματι·

b ἔκειτο γὰρ ἡ[3] μὲν λευκὸν εἰς σεληνόφως
φαίνουσα μαστὸν λελυμένης ἐπωμίδος,
τῆς δ' αὖ χορεία[4] λαγόνα τὴν ἀριστερὰν
ἔλυσε· γυμνὴ[5] δ' αἰθέρος θεάμασιν
ζῶσαν γραφὴν ἔφαινε· χρῶμα δ' ὄμμασι
λευκὸν μελαίνης ἔργον ἀντηύγει[6] σκιᾶς.
ἄλλη δ' ἐγύμνου καλλίχειρας ὠλένας,
ἄλλης προσαμπέχουσα θῆλυν αὐχένα·
ἡ δὲ ῥαγέντων χλανιδίων[7] ὑπὸ πτύχας[8]
c ἔφαινε μηρόν, κἀξεπεσφραγίζετο
ὥρας γελώσης χωρὶς ἐλπίδων ἔρως.

[1] ὀφθαλμοῖσ lemma in A. [2] ἐτεθέατό Meineke.
[3] γὰρ ἡ A: δ' ἡ Jacobs. [4] Casaubon: χορείασ A.
[5] Valckenaer: γυμνῆσ A.

Even princes were often excited over flute-girls and harp-girls, as is made clear by Parmenio in the *Letter to Alexander* dispatched to him after the capture of Damascus, when he came into possession of Darius's household goods.[a] Having caused an inventory to be made of the captured stuff, he writes also the following: "I discovered concubines of the king who played musical instruments, to the number of 329; men employed to weave chaplets, 46; caterers, 277; kettle-tenders, 29; pudding-makers, 13; bar-tenders, 17; wine-clarifiers, 70; perfume-makers, 14."

And to you, my companions, I say that there is nothing so likely to delight the eyes as a woman's beauty. The tragic poet Chaeremon's Oeneus, at any rate, in describing some girls whom he was gazing at, says in the play which bears his name[b]: "One lay there displaying to the moonlight her white breast, her tunic slipped from her shoulder; of another girl, again, the left side had been loosed to view by the dance; bared to the eyes of the sky, it showed a living picture; its colour, so white to my eyes, outshone the effect of the shadowy darkness. Another girl had bared her fair arms and shoulders as she clasped the delicate neck of her companion; she, meanwhile, her robes all torn, showed her thigh from beneath its folds, and desire for that smiling loveliness was stamped upon my mind, but without hope. For-

[a] On Parmenion see Plut. *Alex.* 21. 4, 33. 6.

[b] *T.G.F.*[2] 786. Hermann placed the first eleven verses after ἐξέτεινον αὐχένας below. Certainly the last six verses seem to be out of their right position.

[6] Schweighäuser: ἀυταυγεῖ A.

[7] Meineke, following Casaubon: δεκλαγεν τῶν χλανιδίων A.

[8] πτυχαῖς Nauck.

ὑπνωμέναι[1] δ' ἔπιπτον ἑλενίων ἔπι,
ἴων τε μελανόφυλλα συγκλῶσαι πτερὰ
κρόκον θ', ὃς ἡλιῶδες εἰς ὑφάσματα
πέπλων σκιᾶς[2] εἴδωλον ἐξωμόργνυτο,[3]
ἔρση[4] δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος
λειμῶσι μαλακοὺς[5] ἐξέτεινεν[6] αὐχένας.

d Ἐπικατάφορος δὲ ὢν ὁ ποιητὴς οὗτος ἐπὶ τὰ ἄνθη καὶ ἐν Ἀλφεσιβοίᾳ φησίν·

καὶ σώματος μὲν ὄψιν ἀντηυγάζετο[7]
στίλβουσα[8] λευκῷ χρωτὶ[9] καὶ διαπρεπής.[10]
αἰδὼς δ' ἐπερρύθμιζεν ἠπιώτατον
ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι·
κόμαι δὲ κηροχρῶτος[11] ὡς ἀγάλματος
αὐτοῖσι βοστρύχοισιν ἐκπεπλασμένου[12]
ξουθοῖσιν ἀνέμοις ἐνετρύφων φορούμεναι.[13]

ἐν δὲ τῇ Ἰοῖ ἔαρος τέκνα προσηγόρευε τὰ ἄνθη·

e ἀνθηροῦ τέκνα
ἔαρος[14] πέριξ στρώσαντες.

ἐν δὲ Κενταύρῳ, ὅπερ δρᾶμα πολύμετρόν ἐστιν, λειμῶνος τέκνα·

[1] Lobeck: ὑπτωμεναι (sic) A.
[2] Casaubon: οἰκίασ A.
[3] Meineke: εισομοργνυται A.
[4] Bergk, ἔρσαις Lobeck: περσησ (sic) A.
[5] Wilamowitz, μαλακοῖς Grotius: μαλθακοῖσιν A.
[6] Scaliger: ἐξέτεινον A.
[7] Hermann: ὄψεις κατειργάζετο A.
[8] Meineke: στίλβοντα A.
[9] Wagner: χρώματι A.
[10] καὶ διαπρεπὴς Meineke: διαπρεπῆ alone A.
[11] Wilamowitz: κηροχρώτεσ A.
[12] Meineke: ἐκπεπλασμένοι A.

done with sleep they lay where they had thrown themselves, on beds of calamint,[a] after twining together the darkling petals of violets and the crocus, which had rubbed its sunny likeness [b] into the woven texture of their robes, and there sweet marjoram,[c] lush-grown by the dew, stretched forth its tender stalks in the meadows."

Now this poet, being attracted to flowers, has this also to say in *Alphesiboea* [d]: "Radiant and magnificent, her white skin shone resplendent in the vision of her body, yet modesty tempered the gentle blush with which she covered her brightness of colour; her long tresses, curls and all, as of some statue fashioned of wax, were tossed about luxuriantly in the humming breezes." And in his *Io* he called flowers "the children of the spring-time" [e]: "The men had strewn all about the children of the flowering spring-time." But in *The Centaur*, a play written in many metres, they are "children of the meadow" [f]: "Thereupon

[a] A variety of mint or basil.

[b] The language is obscure. The epithet "sunny" refers to the colour of the robes (saffron); the phrase here rendered "likeness" is borrowed from Aesch. *Ag.* 839 *εἴδωλον σκιᾶς* lit. "image of a shadow," *cf.* Soph. *Aj.* 126 *εἴδωλα . . . ἢ κουφὴν σκιάν.*

[c] Friebel and Meineke thought this line belonged to the verses quoted below from *Alphesiboea.*

[d] *T.G.F.*[2] 781. There is nothing about flowers in this passage, but the language is flowery enough. The text of all these passages is largely conjectural, and some of the verses have apparently been displaced from their original position.

[e] *T.G.F.*[2] 784.

[f] *Ibid.* Aristot. *Poet.* 1447 b, says of this play: *Κένταυρον, μικτὴν ῥαψῳδίαν ἐξ ἁπάντων τῶν μέτρων.* See Bywater's note, p. 110.

[13] Hermann: *φορούμενοι* A.

[14] Casaubon (*cf.* Eustath. 1658.56): *ἀέροσ* A.

ἔνθ' αἱ μὲν[1] αὐτῶν εἰς ἀπείρονα στρατὸν
ἀνθέων ἄλογχον[2] ἐστράτευσαν, ἡδοναῖς
θηρώμεναι[3] θάλλοντα[4] λειμώνων τέκνα.

ἐν δὲ Διονύσῳ·

χορῶν ἐραστὴς κισσός, ἐνιαυτοῦ δὲ παῖς.

περὶ δὲ ῥόδων ἐν Ὀδυσσεῖ φησιν οὕτως·

κόμαισιν Ὡρῶν ὄμματ'[5] εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ'[6] ἔαρος ἐκπρεπέστατον.

f καὶ ἐν Θυέστῃ·

ῥόδ' ὀξυφεγγῆ κρίνεσιν ἀργεννοῖς ὁμοῦ.

ἐν δὲ Μινύαις[7]

πολλὴν ὁπώραν Κύπριδος εἰσορᾶν παρῆν,
ἄκραισι[8] περκάζουσαν οἰνάνθαις χρόνου.[9]

Ἐπὶ κάλλει δὲ—"ἔτι γὰρ[10] γέρων ἀοιδὸς κελαδεῖ Μναμοσύναν" κατὰ τὸν Εὐριπίδην—διαβόητοι γεγόνασι γυναῖκες Θαργηλία ἡ Μιλησία, ἥτις καὶ
609 τεσσαρεσκαίδεκα ἀνδράσιν ἐγαμήθη, οὖσα καὶ τὸ εἶδος πάνυ καλὴ καὶ σοφή, ὥς φησιν Ἱππίας ὁ σοφιστὴς ἐν τῷ ἐπιγραφομένῳ Συναγωγή. Δίνων δ' ἐν τῇ πέμπτῃ τῶν Περσικῶν τῆς πρώτης[11] συντάξεώς φησιν ὅτι ἡ Βαγαβάζου[12] γυνή, ἥτις ἦν

[1] Meineke: ἐνθεμὲν A.
[2] Hermann, Meineke: ἀλόχων A.
[3] Schweighäuser: θηρώμενον A.
[4] θάλλοντα Cobet: τὰ A.
[5] Kaibel: σώματ' A.
[6] τιθήνημα A.
[7] Μινυάσι Nauck.
[8] ἁβραῖσι Meineke.
[9] χρόα Wilamowitz, γένυν Kaibel.
[10] τοι Euripides.
[11] τρίτης Müller.
[12] Rühl (*cf.* Pomp. Trog. iii. 1. 5): βαγάζου A, Μεγαβύζου Müller.

some of the maidens charged upon the unnumbered, spearless host of flowers, hunting in their delight the lush children of the meadows." Again, in *Dionysus*[a]: "Ivy, that lover of the dancing choirs, child of the year." And of roses he speaks in his *Odysseus* as follows[b]: "In their long hair they wore the eyes of the Horae, lovely-flowered roses, splendid nurselings of the spring-time." In *Thyestes*[c]: "Roses of bright lustre, together with white lilies." And in *The Minyae*[d]: "Love's fruit was there to be seen in abundance, darkling to the ripeness of youthful bloom at time's decree."

Many women have been renowned for beauty (indeed, as Euripides says,[e] "an aged bard can still celebrate Memory"). Among them was Thargelia of Miletus, who had been married fourteen times, and who was very beautiful in looks as well as clever, according to the Sophist Hippias in his work entitled *A Collection*.[f] Dinon, in the fifth book of his *Persian History*, first part, says[g] that the wife of Bagabazus,

[a] *T.G.F.*[2] 783. [b] *T.G.F.*[2] 786.

[c] *T.G.F.*[2] 784.

[d] *T.G.F.*[2] 785. The title, according to K. O. Müller, denotes the Argonauts. Nauck, conjecturing Μινύαι, refers the plot to the story of the mad Minyan women in Aelian, *V.H.* iii. 42. Text and interpretation are uncertain. I have retained χρόνου, believing the quotation to be incomplete. *Cf.* Pind. *Nem.* v. 6, of the youthful Pythcas: οὔπω γένυοι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν, "or ever he showed on his cheeks the hue of summer, the soft harbinger of youthful bloom" (Sandys in L.C.L.); see Schroeder's note.

[e] *Heracles* 678.

[f] *F.H.G.* ii. 61, J. 1. 157. Diels, *Vorsokr.* 584; *cf.* Plut. *Per.* 24.

[g] *F.H.G.* ii. 93. Ctesias ap. Phot. *Bibl.* 39a 14 gives the woman's name as Ἄμιντις, and says she was the sister of Artaxerxes, not of Xerxes.

ὁμοπάτριος Ξέρξου ἀδελφή, ὄνομα Ἀνοῦτις, καλλίστη ἦν τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν καὶ ἀκολαστοτάτη. Φύλαρχος δὲ ἐν τῇ ἐννεακαιδεκάτῃ Τιμῶσάν φησι τὴν Ὀξυάρτου παλλακίδα πάσας
b γυναῖκας ὑπερβεβληκέναι κάλλει. ταύτην δ' ἀπεστάλκει δῶρον ὁ τῶν Αἰγυπτίων βασιλεὺς Στατίρᾳ[1] τῇ βασιλέως γυναικί. Θεόπομπος δὲ ἐν τῇ ἕκτῃ καὶ πεντηκοστῇ τῶν Ἱστοριῶν Ξενοπείθειαν[2] τὴν Λυσανδρίδου μητέρα πασῶν τῶν κατὰ Πελοπόννησον γυναικῶν γεγονέναι καλλίονα. ἀπέκτειναν δὲ αὐτὴν Λακεδαιμόνιοι καὶ τὴν ἀδελφὴν αὐτῆς Χρύσην, ὅτε καὶ τὸν Λυσανδρίδαν ἐχθρὸν ὄντα Ἀγησίλαος ὁ βασιλεὺς καταστασιάσας φυγαδευθῆναι ἐποίησεν ὑπὸ Λακεδαιμονίων. καλλίστη δ' ἦν καὶ Παντίκα ἡ Κυπρία, περὶ ἧς φησι Φύλ-
c αρχος ἐν τῇ δεκάτῃ τῶν Ἱστοριῶν ὅτι παρ' Ὀλυμπιάδι οὖσαν τῇ Ἀλεξάνδρου μητρὶ ἥτει πρὸς γάμον Μόνιμος ὁ Πυθίωνος. καὶ ἐπεὶ ἦν ἀκόλαστος ἡ γυνή, ἔφη ἡ Ὀλυμπιάς· "ὦ πόνηρε, τοῖς ὀφθαλμοῖς γαμεῖς καὶ οὐ τῷ νῷ." καὶ τὴν καταγαγοῦσαν[3] δὲ Πεισίστρατον ἐπὶ τὴν τυραννίδα, ὡς Ἀθηνᾶς Παλληνίδος εἶδος ἔχουσαν,[4] καλήν φησι γεγονέναι, ἥτις καὶ τῇ θεῷ εἴκαστο τὴν μορφήν. στεφανόπωλις δ' ἦν· καὶ αὐτὴν ἐξέδωκε πρὸς γάμου κοινωνίαν ὁ Πεισίστρατος Ἱππάρχῳ

[1] *σταπίραι* A : Στατείρᾳ Brückner.
[2] *ξονοπειθειαν* A.
[3] Kaibel : *κατάγουσαν* A.
[4] Παλληνίδος εἶδος ἔχουσαν Gulick (*cf.* Hdt. i. 62) : *πειραν εἶδοσ ἔχουσαν* A, Σωτείρας εἶδος ἔχουσαν Valckenaer, *πεῖραν* [*εἶδος*] *ἔχοντα* (which I cannot interpret) Jacoby : *ὡς Ἀθηνᾶ, δῆθεν* CE.

who was a step-sister of Xerxes by the same father, and named Anoutis, was the most beautiful of all the women in Asia, and the most licentious. Phylarchus, in his nineteenth book, says [a] that Timôsa, the concubine of Oxyartes, surpassed all other women in beauty. This girl had been sent as a present by the king [b] of Egypt to Statira, the king's wife. Again, Theopompus, in the fifty-sixth book of his *Histories*, says [c] that Xenopeitheia, the mother of Lysandridas, was more beautiful than all the other women of Peloponnesus. But the Lacedaemonians murdered her and her sister Chrysê when King Agesilaus, having defeated Lysandridas, who was his personal enemy, in party quarrels, caused him to be banished by the Lacedaemonians. Very beautiful, also, was Pantica of Cyprus, concerning whom Phylarchus says,[d] in the tenth book of his *Histories*, that when she was living at the court of Olympias, Alexander's mother, she was demanded in marriage by Monimus, the son of Pythion. But since the woman was licentious, Olympias said to him: "You poor fool, you are marrying with your eyes and not with your reason." Then again, there was the woman who restored Peisistratus to supreme power,[e] as having the likeness of Athena Pallenis, and who, Phylarchus says, was beautiful, seeing that she resembled the goddess in looks. She had been a flower-girl [f]; and Peisistratus gave her in marriage

[a] *F.H.G.* i. 343, J. 2 A 171.

[b] Or satrap. But Schweighäuser conjectured that it was Tachôs, the king mentioned below, 616 d.

[c] *F.H.G.* i. 324, J. 2 B 587, G. and H. 233.

[d] *F.H.G.* i. 338, J. 2 A 166.

[e] Hdt. i. 60, with How and Wells's note.

[f] So Aristot. *Ath. Pol.* 14.

τῷ υἱῷ, ὡς Ἀντικλείδης[1] ἱστορεῖ ἐν η' Νόστων
d "ἐξέδωκεν δὲ καὶ Ἱππάρχῳ τῷ υἱεῖ τὴν παραι-
βατήσασαν αὐτῷ γυναῖκα Φύην τὴν Σωκράτους
θυγατέρα, καὶ Χάρμου τοῦ πολεμαρχήσαντος
θυγατέρα ἔλαβεν[2] Ἱππίᾳ περικαλλεστάτην οὖσαν
τῷ μετ' αὐτὸν τυραννεύσαντι. συνέβη δέ, ὥς
φησι, τὸν Χάρμον ἐραστὴν τοῦ Ἱππίου γενέσθαι
καὶ τὸν πρὸς Ἀκαδημίᾳ Ἔρωτα[3] ἱδρύσασθαι
πρῶτον, ἐφ' οὗ ἐπιγέγραπται·

ποικιλομήχαν' Ἔρως, σοὶ τόνδ' ἱδρύσατο βωμὸν
Χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίου."

e Ἡσίοδος δ' ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ
Χαλκίδα καλλιγύναικα εἶπεν. εὐπρεπεῖς γὰρ
αὐτόθι γίγνονται γυναῖκες, ὡς καὶ Θεόφραστος
εἴρηκεν. καὶ Νυμφόδωρος δ' ἐν τῷ τῆς Ἀσίας
Περίπλῳ καλλίονάς φησι γίνεσθαι γυναῖκας τῶν
πανταχοῦ γυναικῶν ἐν Γενέδῳ τῇ Τρωικῇ νήσῳ.

Οἶδα δὲ καὶ περὶ κάλλους γυναικῶν ἀγῶνά ποτε
διατεθέντα· περὶ οὗ ἱστορῶν Νικίας ἐν τοῖς Ἀρκα-
δικοῖς διαθεῖναί φησιν αὐτὸν Κύψελον, πόλιν[4]
κτίσαντα ἐν τῷ πεδίῳ περὶ τὸν Ἀλφειόν· εἰς ἣν
f κατοικίσαντα[5] Παρρασίων τινὰς τέμενος καὶ βωμὸν
ἀναστῆσαι Δήμητρι Ἐλευσινίᾳ, ἧς ἐν τῇ ἑορτῇ
καὶ τὸν τοῦ κάλλους ἀγῶνα ἐπιτελέσαι· καὶ

[1] Stiehle (*cf.* 409 f): κλείδημοσ A.
[2] Suspected: Kaibel suggests Ἐλάτην.
[3] Ἔρωτος βωμόν Siebel. [4] Βασιλίδα πόλιν Meineke.
[5] Schweighäuser: κατοικήσαντα A.

[a] *F.H.G.* i. 364, J. 2 B 800. Here and at 409 f (vol. iv. p. 356) the author's name is given in A as Cleidemus; *cf.*

to his son Hipparchus, as Anticleides records in the eighth book of his *Returns*[a]: "He also gave in marriage to his son Hipparchus the woman who had driven beside him,[b] Phya the daughter of Socrates, and for Hippias, who assumed the tyranny after him, he took the daughter of the former polemarch Charmus, a very beautiful girl. It happened, he says, that Charmus had been the lover of Hippias and had been the first to establish the Eros near the Academy,[c] on which is the inscription: 'Eros of many devices, for thee hath Charmus established this altar here at the shadowy limits of the Gymnasium.'" Again, Hesiod in the third book of his *Epic of Melampus* has called[d] Chaleis, in Euboea, the city of lovely women. The women there are indeed good-looking, as Theophrastus also testifies.[e] And Nymphodorus, in his *Voyage in Asia*, says[f] that women more beautiful than women anywhere else are found in Tenedos, the island near Troy.

I know also of a contest of feminine beauty that was instituted once; Nicias, recounting this in his *History of Arcadia*, says[g] that Cypselus instituted it after founding a city in the plain of the Alpheius river; in it he settled some Parrhasians and dedicated a precinct and altar to Demeter of Eleusis, in whose festival he held the beauty contest; and on

P.-W. i. 2425 with ii. 2597. The title "Returns" refers to cases of restoration to power.

[b] In his chariot, when he went back to Athens.

[c] Pausan. i. 30. 1, with Frazer's note, ii. 390-391.

[d] Rzach frag. 195.

[e] Wimmer frag. 110.

[f] *F.H.G.* ii. 378.

[g] *F.H.G.* iv. 463. The new city was Basilis, Pausan. viii. 29. 5, Nilsson, *Gr. Feste* 94, 336. Whether this is Nicias of Nicaea, author of the Διαδοχαὶ φιλοσόφων, is uncertain.

νικῆσαι πρῶτον αὐτοῦ τὴν γυναῖκα Ἡροδίκην. ἐπιτελεῖται δὲ καὶ μέχρι νῦν ὁ ἀγὼν οὗτος, καὶ αἱ ἀγωνιζόμεναι γυναῖκες χρυσοφόροι ὀνομάζονται. Θεόφραστος δὲ ἀγῶνα κάλλους φησὶ γίνεσθαι[1] παρὰ Ἠλείοις, καὶ τὴν κρίσιν ἐπιτελεῖσθαι μετὰ σπουδῆς λαμβάνειν τε τοὺς νικήσαντας ἆθλα ὅπλα· ἅπερ ἀνατίθεσθαί φησιν Διονύσιος ὁ Λευκτρικὸς
610 τῇ Ἀθηνᾷ, τὸν δὲ νικήσαντα ταινιούμενον ὑπὸ τῶν φίλων καὶ πομπεύοντα ἕως τοῦ ἱεροῦ παραγίνεσθαι. τὸν στέφανον δ' αὐτοῖς δίδοσθαι μυρρίνης ἱστορεῖ Μυρσίλος ἐν Ἱστορικοῖς Παραδόξοις. ἐνιαχοῦ δέ φησιν ὁ αὐτὸς Θεόφραστος καὶ κρίσεις[2] γυναικῶν περὶ σωφροσύνης γίνεσθαι καὶ οἰκονομίας, ὥσπερ ἐν τοῖς βαρβάροις· ἑτέρωθι δὲ κάλλους, ὡς δέον καὶ τοῦτο τιμᾶσθαι, καθάπερ καὶ παρὰ Τενεδίοις καὶ Λεσβίοις· ταύτην δὲ τύχης ἢ φύσεως εἶναι, τιμὴν δέον[3] προκεῖσθαι σωφροσύνης. τὸ
b κάλλος γὰρ οὕτως καλόν, εἰ δὲ μή, κίνδυνον ἔχον[4] ἐπ' ἀκολασίαν."

Τοσαῦτα τοῦ Μυρτίλου ἑξῆς καταλέξαντος καὶ πάντων αὐτὸν ἐπὶ τῇ μνήμῃ θαυμασάντων ὁ Κύνουλκος ἔφη·

"πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον οὐδέν,"

Ἵππων ἔφη ὁ ἄθεος. ἀλλὰ καὶ Ἡράκλειτος ὁ

[1] Cobet, Meineke: γενέσθαι A.
[2] κρίσισ, ει added in margin A.
[3] εἶναι, τιμὴν δέον Schweighäuser, Musurus: εἶναι τιμην δενεον A.
[4] Kaibel: ἐσχον A.

[a] Wearers of Gold (not Gold-diggers, on whom see Plaut. *Men.* 377). For other beauty contests see above, 565 f (p. 57).

the first occasion his own wife Herodicê won the prize. This contest is held even to the present day, and the women who enter are called "Chrysophoroe."[a] Theophrastus, too, says[b] that there is a beauty contest of men in Elis, that the trial is held with all solemnity, and that the winners receive weapons as prizes; these, says Dionysius of Leuctra, are dedicated to Athena, and the winner, beribboned by his friends, leads the procession which marches to her temple. But the crown given to the winners is of myrtle, as Myrsilus records in his *Historical Paradoxes*.[c] In some places, the same Theophrastus says,[d] there were female contests also of sobriety and housekeeping, as among the barbarians; in other places, of beauty, as though this also deserved a reward of honour, as among the people of Tenedos and of Lesbos; but, he says, this honour is a matter of chance or of nature, whereas a special reward for sobriety should be offered. For only so is beauty an honourable thing, otherwise there is danger that it will lead to licentiousness.

After this long catalogue[e] had been given in order by Myrtilus, and all the others had expressed their admiration for his powers of memory, Cynulcus said: "Learning, much learning—than which there is nothing more empty!" So said the godless Hippon.[f] But even the divine Heracleitus says[g]:

[b] Wimmer frag. 111.
[c] *F.H.G.* iv. 460.
[d] Wimmer frag. 112.
[e] His speech, briefly interrupted, began at 571 a.
[f] See *P.L.G.*[4] ii. 259; but the saying is Timon's, Wachsmuth 186, Diels, *Vorsokr.* i. 226, *P.P.F.* iii. 189. Supply οὔ μοι μέλει, "I care not for."
[g] Bywater frag. 16. Diels, *Vorsokr.* i. 68, *cf.* Diog. Laert. ix. 1. 1. "Knowledge comes but wisdom lingers."

θεῖός φησι· "πουλυμαθίη[1] νόον ἔχειν οὐ διδάσκει." καὶ ὁ Τίμων δὲ ἔφη·

ἐν δὲ πλατυσμὸς
πουλυμαθημοσύνης,[2] τῆς οὐ κενεώτερον ἄλλο.

c τί γὰρ ὄφελος τῶν τοσούτων ὀνομάτων, ὦ γραμματικέ, πάντων ἐπιτρῖψαι μᾶλλον ἢ σωφρονίσαι δυναμένων τοὺς ἀκούοντας; καὶ ἐὰν μέν τίς σου πύθηται τίνες ἦσαν οἱ εἰς τὸν δούρειον[3] ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα· καὶ οὐδὲ ταῦτ' ἐκ τῶν Στησιχόρου, σχολῇ[4] γάρ, ἀλλ' ἐκ τῆς Σακάδου τοῦ[5] Ἀργείου Ἰλίου Πέρσιδος· οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν. ἀλλὰ μὴν οὐδὲ τῶν Ὀδυσσέως ἑταίρων ἔχοις ἂν

d οὕτως εὐρύθμως καταλέξαι τὰς προσηγορίας καὶ τίνες οἱ ὑπὸ τοῦ Κύκλωπος αὐτῶν καταβρωθέντες ἢ ὑπὸ τῶν Λαιστρυγόνων καὶ εἴ ὄντως κατεβρώθησαν· ὅστις οὖν[6] οὐδὲ τοῦτ' οἶδας, καίτοι συνεχῶς Φυλάρχου μνήμην ποιούμενος, ὅτι ἐν ταῖς Κείων[7] πόλεσιν οὔτε ἑταίρας οὔτε αὐλητρίδας ἰδεῖν ἔστι."

Καὶ ὁ Μυρτίλος· "τοῦτο δὲ ποῦ εἴρηκεν ὁ Φύλαρχος; κατανέγνων γὰρ[8] αὐτοῦ πᾶσαν τὴν Ἱστορίαν." εἰπόντος δ' "ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ," ὁ Μυρτίλος ἔφη· εἶτ' οὐκ ἐγὼ δικαίως πάντας ὑμᾶς τοὺς φιλοσόφους μισῶ μισοφιλο-

e λόγους ὄντας; οὓς οὐ μόνον Λυσίμαχος ὁ βασιλεὺς ἐξεκήρυξε τῆς ἰδίας βασιλείας ἀπελαύνων, ὡς ὁ

[1] Schweighäuser: πολυμαθῆ (sic) A.
[2] πολυμαθημοσύνησ A.
[3] δούριον A.
[4] Casaubon: σχολῇ A.
[5] τῆς Σακάδου (or Σακάδα) τοῦ Schweighäuser: τῆσσακατου A, τῆς Ἀγία τοῦ wrongly C. F. Hermann.
[6] οὖν bracketed by Cobet.

"Much learning teaches not how to possess wisdom." And Timon, also, said[a]: "And the boasting of much learning withal, than which there is nothing more empty." What, really, is the use of all these names, you pedant—more likely to obstruct than to instruct your hearers? Why, if one should ask you who the men were who shut themselves up in the Wooden Horse,[b] you would perhaps tell at most the name of one or two; and you couldn't get even that number from the poems of Stesichorus—hardly!—but from the *Sack of Troy* by Sacadas of Argos[c]: he, to be sure, has given a list of a great many. What is more, you couldn't recite so glibly the names of Odysseus's companions, and who among them were devoured by the Cyclops,[d] or by the Laestrygones,[e] or whether they really were devoured; well then, you don't even know this, though you continually quote Phylarchus, that in the towns of Ceos neither courtesans nor flute-girls are to be seen.[f]

Thereupon Myrtilus asked: Where has Phylarchus said this? For I have read his *History* from one end to the other. When Cynulcus replied, In the twenty-third book, Myrtilus said: Then am I not right in hating all of you philosophers, seeing that you hate literature? You are the persons whom not only King Lysimachus drove by proclamation from his

[a] Wachsmuth frag. 65, Diels, *P.P.F.* iii. 189.
[b] *Od.* viii. 492-520.
[c] See critical note and Bethe in P.-W. vii. 2205, Abert P.-W. *s.v.* Sakadas 1769. On Sacadas see Plut. 1134 c.
[d] *Od.* ix. 166-566. [e] *Od.* x. 81-132.
[f] *F.H.G.* i. 346, J. 2 A 174.

---

[7] Broendsted: *κίων* A.
[8] *καίτοι ἀνέγνων γ'* Peppink. *καταναγιγνώσκω* occurs only here.

Καρύστιός φησιν ἐν Ἱστορικοῖς Ὑπομνήμασιν, ἀλλὰ καὶ Ἀθηναῖοι. Ἄλεξις γοῦν ἐν Ἱππεῖ[1] φησιν·

τοῦτ' ἔστιν Ἀκαδήμεια,[2] τοῦτο Ξενοκράτης;
πόλλ' ἀγαθὰ δοῖεν οἱ θεοὶ Δημητρίῳ
καὶ τοῖς νομοθέταις, διότι τοὺς τὰς τῶν λόγων,
ὥς φασι, δυνάμεις παραδιδόντας τοῖς νέοις
ἐς κόρακας ἐρρίφασιν[3] ἐκ τῆς Ἀττικῆς.

[b] Since Athen. elsewhere (215 c, 537 e) uses *μεσόλευκος* with some colour, perhaps we should read *πορφυροῖς* (purple) or *φοινικοῖς* (red) with *χιτῶσι*.

[c] Lit. "a Tarentine."

[d] *P.L.G.*[4] iii. 657, Diehl ii. 206, Edmonds iii. 514; see Roscher, *Lex. Myth.* i. 1062-1063.

[e] For *ἐσφυδωμένος cf.* Athen. 246 f (vol. iii. p. 110) *οἳ δειπνοῦσι ἐσφυδωμένοι.*

[f] For the description of Antheas of Lindus and his phallus-bearers see Athen. 445 a-b (vol. iv. p. 516).

[g] See critical note 7 and *cf.* Suid. *s.* *Σῆμος· οὐ* (Toup *προσωπείου*) *χωρὶς* (?) *ἐξ ἐρπύλλου καὶ παιδέρωτος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι.* *προπόλιον* does not occur elsewhere, but *cf.* the Byzantine *προπόλωμα*, Constant. Porph. *Cer.* 500. 13, of some kind of head-dress worn by the Emperor. Kaibel's alteration to *προσκόπιον* (*cf.* 176 b, vol. ii. p. 300) is unwarranted.

σοί, Βάκχε, τάνδε μοῦσαν ἀγλαΐζομεν,
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
d καινάν,[1] ἀπαρθένευτον, οὔ τι ταῖς πάρος
κεχρημέναν[2] ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
κατάρχομεν τὸν ὕμνον.

εἶτα προτρέχοντες[3] ἐτώθαζον οὓς[4] προέλοιντο, στάδην δὲ ἔπραττον. ὁ δὲ φαλλοφόρος ἰθὺ βαδίζων καταπασθεὶς[5] αἰθάλῳ."

Ἐπεὶ δ' ἐνταῦθα τοῦ λόγου ἐσμέν, οὐκ ἄξιον ἡγοῦμαι παραλιπεῖν τὰ περὶ Ἀμοιβέως τοῦ καθ' ἡμᾶς κιθαρῳδοῦ,

ἀνδρὸς τεχνίτου κατὰ νόμους τοὺς μουσικούς.[6]

e οὗτός ποτε βράδιον ἥκων ἐπὶ τὸ συμπόσιον ἡμῶν ὡς ἔμαθεν παρά τινος τῶν οἰκετῶν ἀποδειπνήσαντας, ἐβουλεύετο τί χρὴ ποιεῖν, ἕως παρελθὼν ὁ Σόφων αὐτῷ μάγειρος (γεγωνότερον δ' ἐφθέγγετο ὡς πάντας ἀκούειν) τὰ ἐξ Αὔγης εἶπεν Εὐβούλου·

τί, ὦ πόνηρ', ἕστηκας ἐν πύλαις ἔτι,
ἀλλ' οὐ βαδίζεις; τοῖσδε γενναίως πάλαι
διεσπάρακται θερμὰ χηνίσκων μέλη,
διερράχισται σεμνὰ δελφάκων κρέα,
κατηλόηται[7] γαστρὸς οὖν[8] μέσῳ κύκλος,
κατῃσίμωται πάντα τἀκροκώλια,

[1] Hemsterhuys: καὶ μὰν A.
[2] Porson: κεχρημεναν A.
[3] CE: προστρέχοντεσ A.
[4] Kaibel: οὗσ ἂν ACE.
[5] Kaibel: καταπληαθεὶσ A.
[6] Kaibel: μουσικῆσ A, τῆς μουσικῆς Musurus.

reciting [a]: 'To thee, Bacchus, we raise this glorifying song, pouring forth a simple measure in varied melody —a song new and virginal,[b] in no wise used in earlier lays; no, undefiled is the hymn we consecrate.' They would then run forward and jeer at any one they picked out; they did this standing still. But the man who carried the phallus-pole kept marching straight on, smeared with soot." [c]

Since we are on the subject I think it not right to omit the story of Amoebeus, a harp-singer of our time, "a man highly skilled in the rules of music." [d] He arrived rather late at our symposium, and when he learned from one of the servants that we had finished dinner, he was debating what he had better do, when Sophôn [e] the cook came up to him and recited, in a voice loud enough for all to hear, the lines from the *Augê* of Eubulus [f]: "Why, you poor fool, do you keep standing at the gate instead of going on inside? The people here in lavish style have long since pulled to pieces the hot limbs of goslings, have carved from the chine portentous pieces of sucking-pig, have punched to a pulp the round middle of a belly, have demolished

[a] *P.L.G.*[4] iii. 657, Diehl ii. 206, Edmonds iii. 514. Porson ascribed the verses to Pratinas.

[b] M. Navarre, *Rev. des ét. anc.* 13 (1911). 249, renders ἀπαρθένευτον "qui n'est fait pour des jeunes filles," I cannot believe rightly.

[c] Nilsson, *Gr. Feste* 215. The Greek is incomplete and the meaning uncertain. See critical note 5.

[d] Porson noted in these words an anonymous iambic verse.

[e] This name, meaning Wise One, is here assumed, but actually occurs of a cook at 403 e (Anaxippus, vol. iv. p. 328) and at 662 c.

[f] Kock ii. 170. For the scene *cf.* Aristoph. *Ran.* 503-520.

[7] CE: κατηλόισται A, κατηλόκισται Meineke (*cf.* Hesych. s.v.). [8] οὐν Kaibel: ἐν ACE.

f νενωγάλισται[1] σεμνὸς ἀλλᾶντος τόμος,
παρεντέτρωκται τευθὶς ἐξωπτημένη,
παρεγκέκαπται[2] κρανί'[3] ἐννέ' ἢ δέκα.
ὥστ' εἴ τι[4] βούλει τῶν λελειμένων φαγεῖν,
ἔπειγ' ἔπειγε, μή ποθ' ὡς[5] λύκος χανὼν
καὶ τῶνδ' ἁμαρτὼν[6] ὕστερον σαυτὸν δάκνῃς.[7]
Πάντ' ἐστὶν ἡμῖν

κατὰ τὸν ἥδιστον Ἀντιφάνην, ὃς ἐν τῷ Φιλοθηβαίῳ φησίν—

ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία
623 τμηθεῖσα[8] κοίλοις ἐν βυθοῖσι κακκάβης[9]
χλιαίνετ', αἴρεθ', ἕψεται,[10] παφλάζεται,
προσκάεθ', ὥστε μηδ' ἂν εἰ χαλκοῦς[11] ἔχων
μυκτῆρας εἰσέλθοι τις, ἐξελθεῖν πάλιν
εἰκῇ· τοσαύτην ἐξακοντίζει πνοήν.
Β. λέγεις μάγειρον ζῶντα. Α. πλησίον δέ γε
ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ' ὅλην

[1] Meineke: *ενωγαλισται* A, *ἐνωγάλισται* CE.
[2] *παρεγκέκαπται* Valckenaer: *παρεκκέκαπται* A, *παρεκλέλαπται* Kaibel.
[3] Meineke: *στεραν*ι A, *σταμνί'* Valckenaer, Kaibel.
[4] Valckenaer: *ὥστε ἐπεί* A, *ὥστ' ἐπεί* CE.
[5] CE: *ἐπει γ' επεγ' μή ποτ' ὡσ* A (*sic*).
[6] *ἁμάρτῃς* C.
[7] *σαυτὸν δάκνῃς* Kock: *συχνωδραχμῆσ* A, *δράμῃς* Musurus.
[8] ACE: *μιχθεῖσα* 169 c.
[9] *κακάβης* C.
[10] 169 d: *αιρεθεξεται* A, *χλιαίνεται ἐξαίρεται παμφλάζεται* C.
[11] Schweighäuser: *χαλκεῦσ* ACE.

[a] The verb is derived from *νώγαλα*, "sweetmeats," Athen. 29 d, 47 d (vol. i. pp. 128, 204-206).

all the trotters, have munched with relish [a] a portentous slice of sausage, have chewed away a broiled squid, have gulped down the side-meat of nine or ten heads.[b] So if you want to eat anything that's left over, hurry, hurry, lest like a wolf that gapes in vain [c] you miss that too, and later bite yourself." [d]

"We now have everything," to quote the highly delightful Antiphanes, who in his *Pro-Theban* says [e]: "A. For the creature which bears the same name as the lady [f] inside, Boeotian eel, has been sliced up in the hollow depths of the pot; it's getting hot, it's rising high, stewing and spluttering, it's beginning to burn on, so that even if one had nostrils of bronze when he came in, he could not easily walk out again; so great is the fragrant breath it shoots forth. B. You're telling me of a cook who leads a life! [g] A. Yes, and beside the eel is the mullet, which for whole days

[b] Or, adopting the reading *παραλέλαπται στάμνια*, "have guzzled nine or ten jars (of wine)." By "heads" are meant "lambs' heads," Modern Greek *κεφαλάκια*.

[c] "Gaping wolf" was a proverb *ἐπὶ τῶν ἀπράκτων*, Suid. *s. λύκος χανών*.

[d] Kock's conjecture (see critical note 7) is here read with hesitation; the reading in A (CE omit) is nonsense. *Cf.* Aristoph. *Vesp.* 776 (Bdelycleon coaxing his father Philocleon)

ἢν δίκην
λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς
δάκνων σεαυτὸν καὶ τὸν ἀπολογούμενον,

"if anybody pleads his case too long you won't have to wait in hunger until he stops, biting yourself and the defendant too!"

[e] Kock ii. 105, *cf.* 169 c (vol. ii. p. 268).

[f] Enchelys "Eel."

[g] *i.e.* he lives high. *Cf.* Capps, *Menander*, Περικειρομένη 63 and note, Allinson (L.C.L.) 211.

κεστρεὺς λοπισθείς,[1] ἁλσὶ[2] πασθείς,[3] ἐκστραφείς,[4]
χρωσθείς, ὁμοῦ τι πρὸς τέλος[5] δρόμου περῶν,
b σίζει[6] κεκραγώς, παῖς δ' ἐφέστηκε ῥανῶν[7]
ὄξει, Λίβυς τέ καυλὸς ἐξηρασμένος[8]
ἀκτῖσι θείαις σιλφίου παραστατεῖ.[9]
B. εἶτ' οὐκ ἐπῳδούς φασιν ἰσχύειν τινές;[10]
ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασωμένους,
σοῦ ταῦτα συστρέφοντος. A. ἥ τε σύννομον[11]
τῆς κυφονώτου[12] σῶμ' ἔχουσα σηπίας,[13]
ξιφηφόροισι χερσὶν ἐξωπλισμένη
τευθίς, μεταλλάξασα λευκαυγῆ φύσιν
σαρκὸς πυρωτοῖς ἀνθράκων ῥαπίσμασιν,[14]
c ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται,
δείπνου προφήτην λιμὸν ἐκκαλουμένη.
ὥστε γ' εἴσιθι,
μὴ μέλλε, χώρει. δεῖ γὰρ ἠριστηκότας
πάσχειν, ἐάν τι καὶ παθεῖν ἡμᾶς δέῃ.

καὶ ὃς πάνυ ἐμμελέστατα ἀπαντήσας αὐτῷ ἀνεφώνησε[15] τὰ ἐκ τοῦ Κλεάρχου Κιθαρῳδοῦ τάδε·

[1] λεπισθεὶς ACE. [2] ἁλσὶ added by Cobet.
[3] CE: σπασθεισ A. [4] Cobet: στραφεὶς ACE.
[5] CE: τελοσμέροσ A. [6] CE: ἥξει A.
[7] ρανων A, ῥαίνων C. [8] A: ἐξηραμμένος CE.
[9] CE: παραστρατει A.
[10] A: τινὰς CE. Dalechamps rightly took this to be a question.
[11] Herwerden: σύνομοσ ACE.
[12] Toup: κουφονώτου ACE, κουφονότου C.
[13] CE: σηπία A. [14] AC: ῥιπίσμασιν Abresch, Kaibel.
[15] A: ἀντεφώνησε Kaibel.

---

[a] The entire quotation is in mockery of the tragic manner. On the "fasting" mullet see Athen. 306 d-308 d (vol. iii. pp. 376-386).

and nights eats not,[a] nicely scaled, sprinkled with salt, turned inside out, well browned, close pressing to the end of his course, sizzles and shrieks, while a slave stands by to sprinkle him with vinegar, and the crushed stalk of silphium from Libya is at hand to aid with its beams [b] divine. B. After that, can there be any who say that enchanters have no power? [c] Why! I can already see three persons beginning to chew while you twirl [d] all these things together. A. Yes, and she whose body is like that of the hunch-backed cuttle-fish, the squid, armed with dagger-bearing fingers, hath altered the white-rayed colour of her flesh because of the fiery lashing of the coals, and now rejoices with all her body in whiffs of brown fragrance,[e] evoking hunger, that harbinger of the feast. Wherefore go in, dally not, move! For we must suffer as they who have breakfasted well,[f] if so be that we must suffer at all." And Amoebeus, answering in perfect tune with him, recited in a loud voice these lines from *The Harp-Singer* of Clearchus [g]: "Clear your

[b] Silphium has folia aurei coloris, Pliny, *N.H.* xix. 3. 45. The resinous juice, much esteemed as a seasoning, was crushed from the leaves; Athen. 28 d, 63 d (vol. i. pp. 122, 276).

[c] The cook's fluent description is compared to the words of an enchanter, *cf.* Plato, *Charm.* 155 E ἄνευ τῆς ἐπῳδῆς οὐδὲν ὄφελος εἴη τοῦ φύλλου, cited by Cobet, who read ἐπῳδάς for ἐπῳδοὺς.

[d] The cook is like the magician whirling a rhombus.

[e] For αὔραις, which Porson wished to amend to αὐγαῖς, *cf.* Verg. *Aen.* vi. 204 discolor auri aura refulsit.

[f] A comic distortion of some exhortation like δεῖ γὰρ ἠριστευκότας πάσχειν, "we must suffer as those who have won the prize of valour." *Cf.* Sydney Smith's "Fate cannot harm me,—I have dined to-day."

[g] Kock ii. 409.

γόγγρων τε λευκῶν[1] πᾶσι[2] τοῖς κολλώδεσι
βρόχθιζε. τούτοις γὰρ τρέφεται τὸ πνεῦμα καὶ
τὸ φωνάριον ἡμῶν περίσαρκον[3] γίνεται.

d κρότου δ' ἐπὶ τούτοις γενομένου καὶ πάντων
ὁμοθυμαδὸν αὐτὸν καλεσάντων εἰσελθὼν καὶ πιὼν
ἀναλαβών τε τὴν κιθάραν εἰς τοσοῦτον ἡμᾶς ἦσεν[4]
ὡς πάντας θαυμάζειν τήν τε κιθάρισιν μετὰ τῆς[5]
τέχνης ταχίστην οὖσαν καὶ τῆς φωνῆς τὴν ἐμ-
μέλειαν. ἐμοὶ μὲν γὰρ οὐδὲν ἐλάττων εἶναι νομί-
ζεται τοῦ παλαιοῦ Ἀμοιβέως, ὅν φησιν Ἀριστέας
ἐν τῷ περὶ Κιθαρῳδῶν ἐν Ἀθήναις κατοικοῦντα
καὶ πλησίον τοῦ θεάτρου οἰκοῦντα, εἰ ἐξέλθοι
ἀσόμενος, τάλαντον Ἀττικὸν τῆς ἡμέρας λαμ-
βάνειν.

e Περὶ δὲ μουσικῆς τῶν μὲν τάδε λεγόντων, ἄλλων
δ' ἄλλα γ' ὁσημέραι, πάντων δ' ἐπαινούντων τὴν
παιδιὰν[6] ταύτην, Μασούριος ὁ πάντα ἄριστος καὶ
σοφὸς (καὶ γὰρ νόμων ἐξηγητὴς οὐδενὸς δεύτερος
καὶ περὶ μουσικὴν ἐνδιατρίβων αἰεί· ἅπτεται γὰρ
καὶ τῶν ὀργάνων) ἔφη· "ὁ μὲν κωμῳδιοποιὸς
Εὔπολις, ἄνδρες φίλοι, φησί·

ἡ[7] μουσικὴ πρᾶγμ' ἐστὶ βαθὺ[8] καὶ καμπύλον,

αἰεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυνα-
f μένοις. διόπερ καὶ Ἀναξίλας ἐν Ὑακίνθῳ φησίν·

[1] Emperius: γόγγρωι τε λευκωι A.
[2] κρέασι Emperius.
[3] Schweighäuser: περίσαργον A, περίλαμπρον Casaubon, περίτρανον Kaibel.
[4] ἦσεν A.
[5] πάσης (?) Kaibel.
[6] A: παιδείαν Casaubon.
[7] ἡ CE Eustath.: καὶ A, χῇ Kaibel.
[8] Grotius: βαθύ τι ACE.

throat with all the glutinous parts of conger-eels. For by them the breath is fed, and our weak voices become full-fleshed." Loud applause followed this, and all the guests with one accord called him in; so he entered, and after drinking he took up his lyre and delighted us to such an extent that all were amazed at his playing, fluency being combined with correct technique,[a] as well as at the tunefulness of his voice. In my judgement, in fact, he is not a whit inferior to the Amoebeus of ancient times, of whom Aristeas says, in his book *On Harp-Singers*, that he settled in Athens, residing near the theatre, and that whenever he came forward to sing he received an Attic talent for a day's performance.

On the subject of music there was daily conversation, some saying things recorded here, others saying other things, but all joining in praise of this kind of amusement[b]; and Masurius, in all things excellent and wise (for he is a jurist[c] second to none, and he has always been devoted to music and has taken up the playing of musical instruments), said: The comic poet Eupolis, my friends, remarks[d]: "Music is a matter deep and intricate," and it is always supplying something new for those who can perceive. Hence Anaxilas, also, says in *Hyacinthus*[e]: "Music is like

[a] Lit. "his playing, being very swift, with art," or "with all art."

[b] Since various forms of amusement have been the topic of this book, it seems better to retain παιδιὰν rather than read παιδείαν, "this kind of education." The educational advantages of music are to be developed presently. On Aristotle's views concerning music see Newman's remarks in his *Politics* iii. 548 and his Index iv. 630.

[c] Lit. "expounder of laws."

[d] Kock i. 347.

[e] Kock ii. 272.

ἡ μουσικὴ δ' ὥσπερ Λιβύη πρὸς τῶν θεῶν
αἰεί τι καινὸν κατ' ἐνιαυτὸν θηρίον
τίκτει.[1]

μέγας γάρ, ὦ μακάριοι, κατὰ τὸν Θεοφίλου Κιθαρῳδόν,

θησαυρός ἐστιν καὶ βέβαιος μουσικὴ[2]
ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε.

καὶ γὰρ τὰ ἤθη παιδεύει καὶ τοὺς θυμοειδεῖς καὶ τὰς γνώμας διαφόρους καταπραΰνει. Κλεινίας
624 γοῦν ὁ Πυθαγόρειος,[3] ὡς Χαμαιλέων ὁ Ποντικὸς ἱστορεῖ, καὶ τῷ βίῳ[4] καὶ τοῖς ἤθεσιν διαφέρων,[5] εἴ ποτε συνέβαινεν χαλεπαίνειν αὐτὸν δι' ὀργήν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζεν. πρὸς δὲ τοὺς ἐπιζητοῦντας τὴν αἰτίαν ἔλεγεν "πραΰνομαι." καὶ ὁ Ὁμηρικὸς δὲ Ἀχιλλεὺς τῇ κιθάρᾳ κατεπραΰνετο, ἣν αὐτῷ ἐκ τῶν Ἠετίωνος λαφύρων μόνην[6] Ὅμηρος χαρίζεται, καταστέλλειν τὸ πυρῶδες αὐτοῦ δυναμένην. μόνος γοῦν ἐν Ἰλιάδι ταύτῃ χρῆται τῇ μουσικῇ. ⌈ὅτι δὲ καὶ νόσους ἰᾶται μουσικὴ Θεό-

[1] θηρίον τίκτει Morell: τίκτει θηρίον ACE. Jacobi, on account of πρὸς τῶν θεῶν, punctuated with a question mark here.
[2] Meineke: ἡ μουσικὴ ACE.
[3] CE: πυθαγόριοσ A.
[4] τῇ γνώμῃ C.
[5] Casaubon: διαφορῶν ACE.
[6] μόνην A: πρώτην Aelian, ἠρημένην (?) Kaibel.

[a] Or, reading as a question (see critical note 1) "Is music, in the name of the gods, like Libya?" etc. *Cf.* Aristot. *Hist. An.* viii. 28. 11 λέγεται δέ τις παροιμία ὅτι ἀεὶ Λιβύη φέρει τι καινόν, Pliny, *N.H.* viii. 42 volgare Graeciae dictum semper aliquid novi Africam adferre (both cited by Koek). It would seem that innovations in music and dancing have always aroused protests from the conservative; *cf.* Aristoph. *Ran.* 93 χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης, Plato, *Legg.* 660 B καινὰ δὲ ἅττα ἀεὶ γιγνόμενα περί τε τὰς ὀρχήσεις καὶ περὶ τὴν

Libya, which, I swear by the gods,[a] brings forth some new creature every year." To quote *The Harp-Singer* of Theophilus[b]: "A mighty treasure, good sirs, and a constant one, is music for all who have learned it and are educated." For indeed it trains character, and tames the hot-tempered and those whose opinions clash. The Pythagorean Cleinias, for example, as Chamaeleon of Pontus records,[c] whose conduct and character were exemplary, would always take his lyre and play on it whenever it happened that he was exasperated to the point of anger.[d] And in answer to those who inquired the reason he would say, "I am calming myself down." So, too, the Homeric Achilles calmed himself with his lyre, which was the only thing Homer grants to him out of the booty taken from Eëtion,[e] and which had the power of allaying his fiery nature.[f] He, at least, is the only one in the *Iliad* who plays this kind of music.[g] That music can also heal diseases Theophrastus has recorded in his

ἄλλην μουσικὴν σύμπασαν, οὐχ ὑπὸ νόμων μεταβαλλόμενα ἀλλ' ὑπό τινων ἀτάκτων ἡδονῶν. On the purpose and limitations of musical education see Aristot. *Pol.* 1341 a 1-17.

[b] Kock ii. 474.

[c] Koepke 38, Diels, *Vorsokr.*[3] i. 342; see Aelian, *V.H.* xiv. 23. "Music hath charms to soothe the savage breast."

[d] Lit. "was angry because of anger." A similar tautology occurs in Plato, *Apol.* 34 c *ὀργισθεὶς αὐτοῖς τούτοις θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον.*

[e] Ael. *loc. cit.* puts this more accurately: *μουσικὸς ὢν τὴν κιθάραν πρώτην* (not *μόνην*) *ἐκ τῶν λαφύρων ἔλαβε.* See also Schol. *Il.* ix. 188.

[f] *Il.* ix. 186-188 *τόν δ'* (Achilles)

εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν,
τήν ἄρετ' ἐξ ἐνάρων πόλιν Ἠετίωνος ὀλέσσας.

See below, 633 c (p. 417).

[g] This, of course, is not true; see *Il.* iii. 54, xviii. 570.

φραστος ἱστόρησεν ἐν τῷ περὶ Ἐνθουσιασμοῦ,
b ἰσχιακοὺς φάσκων ἀπόνους[1] διατελεῖν εἰ καταυλήσοι τις τοῦ τόπου τῇ Φρυγιστὶ ἁρμονίᾳ.[1] ταύτην δὲ τὴν ἁρμονίαν Φρύγες πρῶτοι εὗρον καὶ μετεχειρίσαντο. διὸ καὶ τοὺς παρὰ τοῖς Ἕλλησιν αὐλητὰς Φρυγίους καὶ δουλοπρεπεῖς τὰς προσηγορίας ἔχειν· οἷός ἐστιν ὁ παρὰ Ἀλκμᾶνι Σάμβας καὶ Ἄδων καὶ Τῆλος,[2] παρὰ δὲ Ἱππώνακτι Κίων καὶ Κώδαλος καὶ Βάβυς, ἐφ' ὧ καὶ ἡ παροιμία ἐπὶ τῶν αἰεὶ πρὸς τὸ χεῖρον αὐλούντων "κάκιον[3] Βάβυς αὐλεῖ." ὁ δ' Ἀριστόξενος τὴν εὕρεσιν αὐτῆς Ὑάγνιδι τῷ Φρυγὶ ἀνατίθησιν.

c Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τρίτῳ περὶ Μουσικῆς οὐδ' ἁρμονίαν φησὶ δεῖν καλεῖσθαι τὴν Φρύγιον, καθάπερ οὐδὲ τὴν Λύδιον. ἁρμονίας γὰρ εἶναι τρεῖς· τρία γὰρ καὶ γενέσθαι Ἑλλήνων γένη, Δωριεῖς, Αἰολεῖς, Ἴωνας. οὐ μικρᾶς οὖν οὔσης διαφορᾶς ἐν τοῖς τούτων ἤθεσιν, Λακεδαιμόνιοι μὲν μάλιστα τῶν ἄλλων Δωριέων τὰ πάτρια διαφυλάτ-

[1] ἀπόνους Gulick: ἀνόσους ACE.
[2] Τύλος (?) Bergk.
[3] Casaubon: καὶ κίων ἢ A. ἢ deleted by Meursius, *cf.* Zenob. iv. 81.

---

[a] Frag. 87 Wimmer, *cf.* Eustath. 1078. 41-43, Apollon. *Hist. Mir.* 49. It does not appear that Theophrastus himself believed in this folk-lore; says Aul. Gell. iv. 13: creditum hoc a plerisque esse et memoriae mandatum ischia cum maxime doleant tum, si modulis lenibus tibicen incinat, minui dolores, ego nuperrime in libro Theophrasti scriptum inveni. *Cf.* Plin. *N.H.* xxviii. 2. 21 and Cael. Aurelianus v. 1, Berne edition 361-362 (on the treatment of sciatica), alii cantilenas adhibendas probaverunt, ut etiam Philistionis frater idem memorat libro xxii de adiutoriis, scribens quendam fistulatorem loca dolentia (= τοῦ τόπου above) decantasse, quae cum

work *On Inspiration* [a]: he says that persons subject to sciatica would always be free from its attacks if one played the flute in the Phrygian [b] mode over the part affected. This mode was first discovered by the Phrygians and constantly used by them. For this reason, he says, flute-players among the Greeks have names which are Phrygian and appropriate to slaves; such, for example, is Sambas, mentioned by Alcman,[c] also Adôn and Têlus, and in Hipponax,[d] Cion, Codalus,[e] and Babys, who occasioned the proverb said of those whose flute-playing grows ever worse and worse, "Babys is playing worse." [f] Aristoxenus attributes [g] the invention of the mode to the Phrygian Hyagnis.[h]

Heracleides of Pontus, however, says [i] in the third book of his work *On Music* that the Phrygian should not be called a separate mode any more than the Lydian. For there are only three modes, since there are also only three kinds of Greeks—Dorians, Aeolians, and Ionians. There is no small difference in the characters of these three, for while the Lacedaemonians preserve better than all other Dorians

saltum sumerent palpitando discusso dolore mitescerent. See also Theophr. *H.P.* ix. 13. 6, Galen xiii. 986 Kühn.

[b] On the various scales, modes, and keys see *Dict. Antiq.* ii. 195-198, and on the meaning of *ἁρμονία*, Macran, *Harmonics of Aristoxenus* 128, 224, Winnington-Ingram, *Mode in Anc. Greek Music*, pp. 69-80.

[c] *P.L.G.*[4] iii. 69, Edmonds i. 106. For other names among the Phrygians which seemed strange to the Greeks *cf.* Strabo 580.

[d] *P.L.G.*[4] ii. 492.

[e] *Cf.* Κώταλος Athen. 176 d (vol. ii. p. 300).

[f] Zenobius iv. 81 *τάττουσι ταύτην* (sc. *τὴν παροιμίαν*) *ἐπὶ τῶν κατὰ τὸ χεῖρον ἀσκούντων.*

[g] *F.H.G.* ii. 287.

[h] Father of Marsyas, Plut. 1132 F, Schol. Aesch. *Pers.* 940, Suid. *s.* Ὄλυμπος (b).

[i] Voss 81.

τουσιν, Θεσσαλοὶ δὲ (οὗτοι γάρ εἰσιν οἱ[1] τὴν ἀρχὴν τοῦ γένους Αἰολεῦσιν μεταδόντες) παραπλήσιον
d αἰεὶ ποιοῦνται τοῦ βίου τὴν ἀγωγήν· Ἰώνων δὲ τὸ πολὺ πλῆθος ἠλλοίωται διὰ τὸ συμπεριφέρεσθαι τοῖς αἰεὶ δυναστεύουσιν αὐτοῖς τῶν βαρβάρων. τὴν οὖν ἀγωγὴν τῆς μελῳδίας ἣν οἱ Δωριεῖς ἐποιοῦντο Δώριον ἐκάλουν ἁρμονίαν· ἐκάλουν δὲ καὶ Αἰολίδα ἁρμονίαν ἣν Αἰολεῖς ᾖδον· Ἰαστὶ δὲ τὴν τρίτην ἔφασκον ἣν ἤκουον ᾀδόντων τῶν Ἰώνων. ἡ μὲν οὖν Δώριος ἁρμονία τὸ ἀνδρῶδες ἐμφαίνει καὶ τὸ μεγαλοπρεπὲς καὶ οὐ διακεχυμένον οὐδ' ἱλαρόν, ἀλλὰ σκυθρωπὸν καὶ σφοδρόν, οὔτε δὲ ποικίλον
e οὔτε πολύτροπον. τὸ δὲ τῶν Αἰολέων ἦθος ἔχει τὸ γαῦρον καὶ ὀγκῶδες, ἔτι δὲ ὑπόχαυνον· ὁμολογεῖ δὲ ταῦτα ταῖς ἱπποτροφίαις αὐτῶν καὶ ξενοδοχίαις· οὐ πανοῦργον δέ, ἀλλὰ ἐξηρμένον[2] καὶ τεθαρρηκός. διὸ καὶ οἰκεῖόν ἐστ' αὐτοῖς ἡ φιλοποσία καὶ τὰ ἐρωτικὰ καὶ πᾶσα ἡ περὶ τὴν δίαιταν ἄνεσις. διόπερ ἔχουσι[3] τὸ τῆς ὑποδωρίου καλουμένης ἁρμονίας ἦθος. αὕτη γάρ ἐστι, φησὶν ὁ Ἡρακλείδης, ἣν ἐκάλουν Αἰολίδα, ὡς καὶ Λᾶσος[4] ὁ Ἑρμιονεὺς ἐν τῷ[5] εἰς τὴν ἐν Ἑρμιόνι[6] Δήμητρα Ὕμνῳ λέγων οὕτως·

Δάματρα μέλπω' Κόραν τε Κλυμένοι'[8] ἄλοχον,

[1] οἱ added by Kaibel.
[2] Dulechamps: ἐξηρημένον ACE.
[3] Cobet: διὸ περιέχουσι ACE.
[4] Dindorf: λάσοσ ACE.
[5] ἐν τῷ edd.: ἐν τοῖσ A.
[6] ἐν ερμειονι A (*sic*), ἐν ἑρμιόνηι 455 c.

the customs of their fathers, and the Thessalians (these are they who conferred upon the Aeolians the origin of their race) have always maintained practically the same mode of life, the great majority [a] of the Ionians, on the other hand, have undergone changes due to barbarian rulers who have for the time being come in contact with them. Hence the melodic style [b] which the Dorians constructed they called the Dorian mode; Aeolian they called the mode which the Aeolians sang; Ionian, they said of the third mode, which they heard Ionians sing. Now the Dorian mode exhibits the quality of manly vigour, of magnificent bearing, not relaxed or merry, but sober and intense, neither varied nor complicated. But the Aeolian character contains the elements of ostentation and turgidity, and even conceit; these qualities are in keeping with their horse-breeding and their way of meeting strangers; yet this does not mean malice, but is, rather, lofty and confident. Hence also their fondness for drinking is something appropriate to them, also their love-affairs, and the entirely relaxed nature of their daily life. Wherefore they have the character of the Hypodorian mode, as it is called. This, Heracleides says, is in fact the one which they called Aeolian, as Lasus of Hermionê does in the *Hymn to Demeter of Hermion* in the following words [c]: "I celebrate Demeter and Korê, wedded wife of

[a] The Milesians excepted, below, 625 b. By barbarians, of course, he means Asiatic peoples in general. Winnington-Ingram, *op. cit.* p. 28.

[b] On the phrase *τὴν ἀγωγὴν τῆς μελῳδίας* see Winnington-Ingram, p. 60.

[c] *P.L.G.*[4] iii. 376, Diehl ii. 60, Edmonds ii. 228, *cf.* Athen. 455 c-d (vol. iv. p. 566 and note *b*), P.-W. iv. 2731.

[7] *δαμάτραμεάπω* A.

[8] *κλυμενοιο* A.

μελιβόαν[1] *ὕμνον ἀναγνέων*[2]
Αἰολίδ' ἀνὰ[3] *βαρύβρομον ἁρμονίαν.*

ταῦτα δ' ᾄδουσιν πάντες ὑποδώρια τὰ μέλη.[4] *ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον,*[5] *εἰκότως Αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λᾶσος. καὶ Πρατίνας δέ πού φησι·*

μήτε σύντονον δίωκε μήτε τὰν ἀνειμέναν Ἰαστὶ μοῦσαν,[6]
ἀλλὰ τὰν μέσαν[7] *νεῶν ἄρουραν αἰόλιζε τῷ μέλει.*

ἐν δὲ τοῖς ἑξῆς σαφέστερόν φησιν·

625 *πρέπει τοι πᾶσιν ἀοιδὰ λαβράκταισ'*[8] *Αἰολὶς ἁρμονία.*

πρότερον μὲν οὖν, ὡς ἔφην,[9] *Αἰολίδα αὐτὴν*[10] *ἐκάλουν, ὕστερον δ' ὑποδώριον, ὥσπερ ἔνιοί φασιν, ἐν τοῖς αὐλοῖς τετάχθαι νομίσαντες αὐτὴν ὑπὸ τὴν Δώριον ἁρμονίαν. ἐμοὶ δὲ δοκεῖ ὁρῶντας αὐτοὺς τὸν ὄγκον καὶ τὸ προσποίημα τῆς καλοκἀγαθίας ἐν τοῖς τῆς ἁρμονίας ἤθεσιν Δώριον μὲν αὐτὴν οὐ νομίζειν, προσεμφερῆ δέ πως ἐκείνῃ· διόπερ ὑποδώριον ἐκάλεσαν, ὡς τὸ προσεμφερὲς τῷ λευκῷ ὑπόλευκον καὶ τὸ μὴ γλυκὺ μὲν ἐγγὺς δὲ τούτου*

[1] Hartung: *μελίβοιαν* A.
[2] *ἀναγνέων* Bergk (*cf.* Hesych. *ἀγνεῖν· ἄγειν. Κρῆτες*): *ἀναγνῶν* A.
[3] Wilamowitz: *ἅμα* A.
[4] *τὰ μέλη* deleted by Kaibel, perhaps rightly.
[5] *τὰ μέλη* after *ὑποδώριον* deleted by Casaubon.
[6] Toup: *ἰαστὶν οὖσαν* A, *ἰαστὶ οὖσαν* CE.
[7] CE: *μέσσαν* A.
[8] *ἀοιδολαβράκταις* (?) Bergk.
[9] Musurus: *ἔφη* A.
[10] A: *ταύτην* CE.

Pluto, raising unto them a sweet-voiced hymn in the deep-toned Aeolian mode." These lyrics are sung by all in the Hypodorian scale. Since, then, the tune is Hypodorian, it naturally follows that Lasus calls the mode Aeolian. Again, Pratinas says, I believe [a]: "Pursue neither the severe Muse [b] nor yet the relaxed Ionian, but ploughing rather the middle glebe play the Aeolian with your tune." And in what follows he says more plainly: "Verily the Aeolian mode is the song that befits all the bold." [c] Formerly, then, as I [d] have said, they called it Aeolian, but later Hypodorian, as some assert, because they thought that in the flutes it had a range below the Dorian mode. But I believe that people who observed the turgid quality and pretence of nobleness in the character of the Aeolian mode, regarded it not as Dorian at all, but something which somehow resembled the Dorian; hence they called it Hypodorian,[e] just as we say that what resembles white is rather (*hypo-*) white, or what is not sweet, yet nearly

[a] *P.L.G.*[4] iii. 560, Diehl ii. 126, Edmonds iii. 54. For the figurative language *cf.* Pratinas again, Athen. 461 e (vol. v. p. 12).

[b] *i.e.* the Dorian mode, according to Jacobs, who read *σύντονον Δωρίδα*. But Plato, *Rep.* 398 E has *συντονολυδιστί*, explained as Hyperlydian, "high-pitched" (so Bergk), Poll. iv. 78 *σύντονος λυδιστί, ἣν Ἄνθιππος ἐξεῦρεν*. This interpretation, however, while correctly placing *ἰαστί* and *λυδιστί* in the same emotional class (Plato, *loc. cit.* *ἰαστὶ καὶ λυδιστὶ αὖ τινες χαλαραὶ καλοῦνται*), fails to explain in what sense Aeolian occupies a middle position. The extremes are the sober Dorian and the effeminate Ionian. See Westphal, *Metrik* ii. 81, 351, and Jan in P.-W. iv. 2073-2074.

[c] *Cf.* the adjectives used above to describe the Aeolian character.

[d] The authority is still Heracleides.

[e] *i.e.* somewhat or rather like the Dorian.

λέγομεν ὑπόγλυκυ· οὕτως καὶ ὑποδώριον τὸ μὴ πάνυ Δώριον.

b Ἑξῆς ἐπισκεψώμεθα τὸ τῶν Μιλησίων ἦθος, ὃ διαφαίνουσιν οἱ Ἴωνες, ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις βρενθυόμενοι καὶ θυμοῦ πλήρεις, δυσκατάλλακτοι, φιλόνεικοι, οὐδὲν φιλάνθρωπον οὐδ' ἱλαρὸν ἐνδιδόντες, ἀστοργίαν καὶ σκληρότητα ἐν τοῖς ἤθεσιν ἐμφανίζοντες. διόπερ οὐδὲ τὸ τῆς Ἰαστὶ γένος ἁρμονίας οὔτ' ἀνθηρὸν οὔτε ἱλαρόν ἐστιν, ἀλλὰ αὐστηρὸν καὶ σκληρόν, ἄγκον δ' ἔχον οὐκ ἀγεννῆ· διὸ καὶ τῇ τραγῳδίᾳ προσφυὴς ἡ ἁρμονία.

c τὰ δὲ τῶν νῦν Ἰώνων ἤθη τρυφερώτερα καὶ πολὺ παραλλάττον τὸ τῆς ἁρμονίας ἦθος. φασὶ δὲ Πύθερμον τὸν Τήιον ἐν τῷ γένει τῆς ἁρμονίας[1] τούτῳ ποιῆσαι[2] σκολιά[3] μέλη, καὶ διὰ[4] τὸ εἶναι τὸν ποιητὴν Ἰωνικὸν Ἰαστὶ κληθῆναι τὴν ἁρμονίαν. οὗτός ἐστι Πύθερμος οὗ μνημονεύει Ἀνάνιος ἢ[5] Ἱππῶναξ ἐν τοῖς Ἰάμβοις· . . . καὶ[6] ἐν ἄλλῳ οὕτως·

χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἄλλα.

λέγει δ' οὕτως ὁ Πύθερμος·

οὐδὲν[7] ἦν ἄρα[8] τἄλλα πλὴν ὁ[9] χρυσός.

οὐκοῦν καὶ κατὰ τοῦτον τὸν λόγον πιθανόν ἐστι τὸν

[1] CE: τῆς ἁρμονίας αὐτοῦ A, αὐτῷ Bergk.
[2] A: τούτῳ ἁρμόττοντα τοῖς ἤθεσι τῶν Ἰώνων ποιῆσαι C.
[3] Casaubon: σκαιὰ AC.
[4] καὶ διὰ CE: διὰ A.
[5] ἢ added by early edd.
[6] Lacuna marked, καὶ added by Kaibel, who seems to have been the first to notice ἐν ἄλλωι (*sic*) in A.
[7] οὐθὲν A.
[8] παρὰ Suid.
[9] ὁ added by Suid.

sweet, rather sweet[a]: in similar fashion they called Hypodorian that which was not quite Dorian.

Next in order let us examine the Milesians' character, which the Ionians illustrate.[b] Because of their excellent physical condition they bear themselves haughtily, they are full of irate spirit, hard to placate, fond of contention, never condescending to kindliness nor cheerfulness, displaying a lack of affection and a hardness in their character. Hence also the kind of music known as the Ionian mode is neither bright nor cheerful,[c] but austere and hard, having a seriousness which is not ignoble; and so their mode is well-adapted to tragedy. But the character of the Ionians to-day is more voluptuous, and the character of their mode is much altered. They say that Pythermus of Teos composed lyric scolia[d] in this kind of mode, and since the poet was an Ionian the mode was called Ionian. This is the Pythermus mentioned by Ananius or Hipponax in their *Iambic Verses*[e]: . . . And in another passage as follows[f]: "Pythermus speaks of gold as if other things were naught." In fact Pythermus does speak of it thus[g]: "Other things, after all, are naught compared with gold." And so, considering also this saying of his, it is to be

[a] *Cf.* the curious adjective in Plato, *Rep.* 548 E, ὑποαμουσότερος, "somewhat less cultivated."

[b] *Sc.* in their music.

[c] This doublet is used by Plut. 50 B of the flatterer, ἀεὶ παρέχειν ἵλαρὸν καὶ ἀνθηρόν.

[d] For these convivial songs see H. W. Smyth, *Melic Poets* xcv.-cvii.

[e] The quotation is lost.

[f] *P.L.G.*[4] ii. 501 (Ananius), Diehl i. 286; from the same poem is Athen. 78 f (vol. i. p. 340).

[g] *P.L.G.*[4] iii. 643, Diehl ii. 60, Plut. *Prov.* 1, 96, Diogenian. vi. 94, Suid. s. Οὐδὲν ἦν.

Πύθερμον ἐκεῖθεν ὄντα ποιήσασθαι τὴν ἀγωγὴν τῶν
d μελῶν ἁρμόττουσαν τοῖς ἤθεσι τῶν Ἰώνων. διόπερ
ὑπολαμβάνω οὐχ ἁρμονίαν εἶναι τὴν Ἰαστί, τρόπον
δέ τινα θαυμαστὸν σχήματος ἁρμονίας. κατα-
φρονητέον οὖν τῶν τὰς μὲν κατ' εἶδος διαφορὰς οὐ
δυναμένων θεωρεῖν, ἐπακολουθούντων δὲ τῇ τῶν
φθόγγων ὀξύτητι καὶ βαρύτητι καὶ τιθεμένων
ὑπερμιξολύδιον ἁρμονίαν καὶ πάλιν ὑπὲρ ταύτης
ἄλλην. οὐχ ὁρῶ γὰρ οὐδὲ[1] τὴν ὑπερφρύγιον ἴδιον
ἔχουσαν ἦθος· καίτοι τινές φασιν ἄλλην ἐξευρηκέναι
e καινὴν ἁρμονίαν ὑποφρύγιον.[2] δεῖ δὲ τὴν ἁρμονίαν
εἶδος ἔχειν ἤθους ἢ πάθους, καθάπερ ἡ Λοκριστί·
ταύτῃ γὰρ ἔνιοι τῶν γενομένων κατὰ Σιμωνίδην
καὶ Πίνδαρον ἐχρήσαντό ποτε, καὶ πάλιν κατ-
εφρονήθη.

Τρεῖς οὖν αὗται, καθάπερ ἐξ ἀρχῆς εἴπομεν εἶναι
ἁρμονίας, ὅσα καὶ τὰ ἔθνη. τὴν δὲ Φρυγιστὶ καὶ
τὴν Λυδιστὶ παρὰ τῶν βαρβάρων οὔσας γνωσθῆναι
τοῖς Ἕλλησιν ἀπὸ τῶν σὺν Πέλοπι κατελθόντων
f εἰς τὴν Πελοπόννησον Φρυγῶν καὶ Λυδῶν. Λυδοὶ
μὲν γὰρ αὐτῷ συνηκολούθησαν διὰ τὸ τὴν Σίπυλον
εἶναι τῆς Λυδίας· Φρύγες δὲ οὐχ ὅτι ὁμοτέρμονες
τοῖς Λυδοῖς εἰσιν, ἀλλ' ὅτι καὶ αὐτῶν ἦρχεν ὁ
Τάνταλος. ἴδοις δ' ἂν καὶ τῆς Πελοποννήσου
πανταχοῦ, μάλιστα δὲ ἐν Λακεδαίμονι χώματα

[1] CE: οὔτε A.
[2] ἁρμονίαν ὑποφρύγιον A: ἁρμονίαν ὑπὸ τὴν ὑπερφρύγιον Wilamowitz.

---

[e] Kaibel renders the curtailed sentence: non credo Pythermi harmoniam esse eam quae Ionica videtur, sed inde derivatum miro quodam modo σχῆμα ἁρμονίας.

believed that Pythermus, being from Ionia, made the style of his lyrics fit the character of the Ionians. Hence I assume that it was not the Ionian mode in which Pythermus composed, but a curious variation of modal figure.[a] So one should look with disdain on those who cannot see specific differences, but simply attend to the highness or lowness of tones, and assume a Hypermixolydian mode and again another higher than that. Nor can I see, in fact, that the Hyperphrygian has a special character of its own. And yet some persons assert that they have discovered another new, Hypophrygian, mode![b] But a mode must have a specific character or feeling, like the Locrian[c]; this was once employed by some who flourished in the time of Simonides and Pindar, but it fell into disrepute again.

These modes, then, are three, as we said of them at the beginning,[d] being as many as there are tribes of Greeks. The Phrygian and the Lydian modes, originating with the barbarians, came to be known to the Greeks from the Phrygians and Lydians who emigrated to Peloponnesus with Pelops. The Lydians accompanied him because Sipylus[e] was a city of Lydia; the Phrygians came not only because they lived on the borders of Lydia but also because Tantalus ruled over them. You may see everywhere in Peloponnesus, but especially in Lacedaemon, large

[b] See the excellent discussion of this passage in Winnington-Ingram, *Mode in Anc. Greek Music*, pp. 19-21.

[c] On this scale, or mode, see *Dict. Antiq.* ii. 197 b, and on the *ἦθος* of the modes, H. Abert, *Die Lehre v. Ethos in der griech. Musik.*

[d] Above, 624 c (p. 365).

[e] Ruled by Tantalus, the father of Pelops; Pind. *Ol.* i. 38 *φίλαν* (*i.e.* his own) *τε Σίπυλον.*

μεγάλα, ἃ καλοῦσι τάφους τῶν μετὰ Πέλοπος Φρυγῶν. μαθεῖν οὖν τὰς ἁρμονίας ταύτας τοὺς Ἕλληνας παρὰ τούτων. διὸ καὶ Τελέστης[1] ὁ Σελινούντιός φησιν·

626 πρῶτοι παρὰ κρατῆρας Ἑλλήνων[2] ἐν αὐλοῖς
συνοπαδοὶ Πέλοπος Ματρὸς ὀρείας
Φρύγιον ἄεισαν νόμον·
τοὶ[3] δ' ὀξυφώνοις πηκτίδων[4] ψαλμοῖς[5] κρέκον
Λύδιον ὕμνον.

"Οὐ παραληπτέον δὲ[6] τὴν μουσικήν," φησὶν Πολύβιος ὁ Μεγαλοπολίτης, "ὡς Ἔφορος ἱστορεῖ, ἐπὶ ἀπάτῃ καὶ γοητείᾳ παρεισῆχθαι τοῖς ἀνθρώποις,
b οὐδὲ τοὺς παλαιοὺς Κρητῶν καὶ Λακεδαιμονίων αὐλὸν καὶ ῥυθμὸν εἰς τὸν πόλεμον ἀντὶ σάλπιγγος εἰκῇ νομιστέον εἰσαγαγεῖν, οὐδὲ τοὺς πρώτους Ἀρκάδων εἰς τὴν ὅλην πολιτείαν τὴν μουσικὴν παραλαβεῖν, ὥστε[7] μὴ μόνον παισὶν[8] ἀλλὰ καὶ νεανίσκοις[9] γενομένοις ἕως[10] λ' ἐτῶν κατ' ἀνάγκην σύντροφον ποιεῖν αὐτήν, τἄλλα τοῖς βίοις[11] ὄντας αὐστηροτάτους. παρὰ γοῦν μόνοις Ἀρκάσιν[12] οἱ παῖδες ἐκ νηπίων ᾄδειν ἐθίζονται κατὰ νόμον τοὺς ὕμνους καὶ παιᾶνας, οἷς ἕκαστοι κατὰ τὰ πάτρια τοὺς ἐπιχωρίους ἥρωας καὶ θεοὺς ὑμνοῦσι. μετὰ

[1] τελεστὴς A.
[2] Ἑλλάνων Bergk rightly.
[3] Musurus: τοῖσ A.
[4] πακτίδων Diehl.
[5] Musurus: ψαλμοί A.
[6] οὐ γὰρ ἡγητέον Polybius.
[7] ὥστε A: ἐπὶ τοσοῦτον ὥστε Polybius.
[8] παισὶν Polybius: ἐμπεσεῖν A.
[9] νεανίσκοις Polybius: ἐν νεανίσκοισ A.
[10] Polybius: ὡσ A.
[11] A: τῷ βίῳ CE.

mounds, which they call the tombs of the Phrygians who came with Pelops. These musical modes, then, the Greeks learned from them. Hence also Telestes of Selinus says [a]: "The first to sing the Phrygian strains in honour of the Mountain Mother, amid the flutes beside the mixing-bowls of the Greeks, were they who came in the company of Pelops; and the Greeks struck up the Lydian hymn with the high-pitched twanging of the lyre."

Polybius of Megalopolis says [b]: "One must not accept it as fact that music was introduced among men for purposes of deceit and quackery, as Ephorus asserts [c] that it was; nor should one believe that the ancient Cretans and Lacedaemonians introduced the flute and a marching rhythm into battle, instead of the trumpet, without good reason; nor was it by chance that the earliest Arcadians carried the art of music into their entire social organization, so that they made it obligatory and habitnal not only for boys but also for young men up to thirty years of age, although in all other respects they were most austere in their habits of life. It is only among the Arcadians, at any rate, that the boys, from infancy up, are by law practised in singing hymns and paeans, in which, according to ancestral custom, they celebrate their national heroes and gods. After

[a] *P.L.G.*[4] iii. 630, Diehl ii. 156, Edmonds iii. 278.

[b] iv. 20. 5-21. 9 (Paton, L.C.L. ii. 346-352). These *obiter dicta* of Polybius on music are inspired by the massacre (below, *σφαγή*) of the Cynaethians by the Aetolians, Polybius iv. 17-19.

[c] *F.H.G.* i. 234, J. 2. 45. Polybius adds that Ephorus was inconsistent with himself in making this rash statement: *οὐδαμῶς ἁρμόττοντα λόγον αὐτῷ ῥάψας.*

[12] Polybius, *παρ' οἷς μόνοις* CE: *παρὰ γ' οὗν μόνοισ ἀρκάδων* A.

δὲ ταῦτα τοὺς Τιμοθέου καὶ Φιλοξένου νόμους
μανθάνοντες χορεύουσι κατ' ἐνιαυτὸν τοῖς Διο-
c νυσιακοῖς αὐλητοῖς ἐν τοῖς θεάτροις, οἱ μὲν[1]
παῖδες τοὺς παιδικοὺς ἀγῶνας, οἱ δὲ νεανίσκοι
τοὺς τῶν ἀνδρῶν. καὶ παρ' ὅλον δὲ τὸν βίον ἐν
ταῖς συνουσίαις ταῖς κοιναῖς οὐχ οὕτω ποιοῦνται
τὰς ἀγωγὰς[2] διὰ τῶν ἐπεισάκτων ἀκροαμάτων ὡς
δι' αὐτῶν,[3] ἀνὰ μέρος ᾄδειν ἀλλήλοις προστάτ-
τοντες. καὶ τῶν μὲν ἄλλων μαθημάτων ἀρνηθῆναί
τι μὴ εἰδέναι οὐδὲν αἰσχρόν[4] ἐστιν, τὸ δὲ ᾄδειν
ἀποτρίβεσθαι αἰσχρὸν παρ' αὐτοῖς νομίζεται. καὶ
μὴν ἐμβατήρια μετ' αὐλοῦ καὶ τάξεως ἀσκοῦντες,
ἔτι δὲ ὀρχήσεις ἐκπονοῦντες μετὰ κοινῆς ἐπιστροφῆς
καὶ δαπάνης κατ' ἐνιαυτὸν ἐν τοῖς θεάτροις ἐπι-
d δείκνυνται. ταῦτ' οὖν αὐτοὺς εἴθισαν οἱ παλαιοὶ[5]
οὐ τρυφῆς καὶ περιουσίας χάριν, ἀλλὰ θεωροῦντες
τὴν ἑκάστου κατὰ τὸν βίον σκληρότητα καὶ τὴν
τῶν ἠθῶν αὐστηρίαν, ἥτις αὐτοῖς παρέπεται διὰ
τὴν τοῦ περιέχοντος ψυχρότητα καὶ στυγνότητα
τὴν κατὰ τό[6] πλεῖστον ἐν τοῖς τόποις ὑπάρχουσαν,
οἷς καὶ συνεξομοιοῦσθαι πεφύκαμεν πάντες ἄν-
θρωποι· διὸ καὶ κατὰ τὰς ἐθνικὰς διαστάσεις
πλεῖστον ἀλλήλων διαφέρομεν ἤθεσι[7] καὶ μορφαῖς
e καὶ χρώμασιν. πρὸς δὲ τούτοις συνόδους κοινὰς

[1] μὲν Polybius: μὲν οὖν A.
[2] οὐχ . . . τὰς ἀγωγὰς added by Kaibel after Cobet, *cf.* Polyb. iv. 21.10: οὐ διὰ τῶν A.
[3] δι' αὐτῶν Polybius: διὰ τῶν A.
[4] οὐδὲν αἰσχρόν C, Polybius: οὐδὲν αὐτὸν αἰσχρόν A, οὐδενὶ αὐτῶν αἰσχρόν Kaibel.
[5] ACE: οἱ πάλαι Polybius.
[6] τὸ added from Polybius.
[7] Polybius: ἤθει ACE.

these they learn the tunes [a] of Timotheüs and Philoxenus and dance [b] them annually in the theatres with Dionysiac [c] flute-players, the boys competing in the boys' contests, the young men in the contests of adult males.[d] And throughout their whole lives, in their social gatherings they do not pursue methods and practices so much with the aid of imported entertainments as with their own talents, requiring one another to sing each in his turn. As for other branches of training, it is no disgrace to confess that one knows nothing, but it is deemed a disgrace among them to decline to sing. What is more, they practise marching-songs with flute-accompaniment in regular order, and further, they drill themselves in dances and display them annually [e] in the theatres with elaborate care and at public expense. All this, therefore, the men of old taught them, not to gratify luxury and wealth, but because they observed the hardness in every one's life and the austerity of their character, which are the natural accompaniment of the coldness of their environment and the gloominess prevailing for the most part in their abodes; for all of us human beings naturally become assimilated to the character of our abode; hence it is also differences in our national position that cause us to differ very greatly from one another in character, in build, and in complexion. In addition to the training just

[a] Lit. "the nomes," for which see Smyth, *Melic Poets* lviii.-lxviii. Timotheus and Philoxenus are mentioned together as composers of nomes, Aristot. *Poet.* 1448 a 15.

[b] Polybius adds *πολλῇ φιλοτιμίᾳ*, "in eager rivalry."

[c] *i.e.* professional (Paton).

[d] In athletics there were usually three classes of entrants, boys, beardless (*ἀγένειοι*), and adults.

[e] Polybius adds: "to their own fellow-citizens."

καὶ θυσίας ἀνδράσι καὶ γυναιξὶ κατείθισαν, ἔτι δὲ χοροὺς παρθένων ὁμοῦ καὶ παίδων, σπεύδοντες τὸ τῆς φύσεως[1] ἀτέραμνον διὰ τῆς τῶν ἐθισμῶν κατασκευῆς ἐξημεροῦν καὶ πραΰνειν. ὧν Κυναιθεῖς ὀλιγωρήσαντες εἰς τέλος,[2] καίτοι σκληρότατον παρὰ πολὺ τῆς Ἀρκαδίας ὁμοῦ τῷ τόπῳ καὶ τὸν ἀέρα ἔχοντες, πρὸς αὐτὰς τὰς[3] ἐν ἀλλήλοις παρατριβὰς καὶ φιλοτιμίας ὁρμήσαντες τέλος ἀπεθηριώθησαν οὕτως ὡς[4] μέγιστα ἀσεβήματα παρὰ μόνοις αὐτοῖς γίνεσθαι. καθ' οὓς δὲ καιροὺς
f τὴν μεγάλην σφαγὴν ἐποιήσαντο, εἰς ἃς ποτε πόλεις Ἀρκαδικὰς κατὰ τὴν δίοδον[5] εἰσῆλθον, οἱ μὲν ἄλλοι παραχρῆμα πάντες αὐτοὺς[6] ἐξεκήρυξαν, Μαντινεῖς δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν αὐτῶν καθαρμὸν τῆς πόλεως ἐποιήσαντο σφάγια περιαγαγόντες[7] κύκλῳ τῆς χώρας ἁπάσης."

Ἀγίας δ' ὁ μουσικὸς ἔφη τὸν στύρακα τὸν ἐν ταῖς ὀρχήστραις θυμιώμενον τοῖς Διονυσίοις φρύγιον ποιεῖν ὀδμὴν τοῖς αἰσθανομένοις.

Τὸ δ' ἀρχαῖον ἡ μουσικὴ ἐπ' ἀνδρείαν προτροπὴ

[1] ψυχῆς Polybius. [2] εἰσ τέλοσ AC: τέλος (om. εἰς) E.
[3] Schweighäuser: πρόσ μὲν αὐτάσ τάσ A, πρόσ αὐτὰς δὲ τάς Polybius. [4] AC: ὥστε Polybius.
[5] AC: ὁδόν Polybius. [6] CE: ἑαυτούσ A.
[7] περιάγοντες (?) Kaibel: περιήνεγκαν Polybius.

---

[a] After the parenthetical comment on the influence of physical environment the original subject, οἱ παλαιοί, is resumed.

[b] Or, "their souls"; see critical note 1.

[c] In the most northerly part of Arcadia, where the mountains are highest, near the modern Kalavryta.

[d] So that they needed civilizing influences most, as Polyb. iv. 21. 5 points out, in a clause omitted by Athenaeus. The events here recorded occurred *circa* 220 B.C.

described, their ancestors [a] taught the Arcadian men and women the practice of public assembly and sacrifice, also at the same time choruses of girls and boys, eager as they were to civilize and soften the toughness of their natures [b] by customs regularly organized. But the people of Cynaetha [c] came at the end to neglect these customs, although they occupied by far the rudest part of Arcadia in point of topography as well as climate [d]; when they plunged right into friction and rivalry with one another they finally became so brutalized that among them alone occurred the gravest acts of sacrilege. At the time when they brought upon themselves the great massacre, into whatever Arcadian cities they [e] went on their way through, all the others immediately barred them out by public proclamation, but the Mantinaeans, after their withdrawal, instituted a purification of their city, carrying the blood of slain animals round about their entire territory."

Agias, the writer on music, has said [f] that storax,[g] which is burned as incense in the orchestras at the festival of Dionysus, produces a "Phrygian" [h] odour to those who smell it.

In ancient times music was an incitement to

[e] Their ambassadors, that is, who were dispatched to Sparta with invitations to the sacrifice; they had to pass through many Arcadian towns.

[f] *F.H.G.* iv. 293, where he is wrongly identified with the Argive historian Agias or Hagias, Athen. 86 f (vol. i. p. 372); P.-W. vii. 2205.

[g] A fragrant gum said to have the odour of vanilla.

[h] Either "Phrygian" in the sense of strong and pungent, having the same stimulating effect as the Phrygian mode in music, or more likely, "phrygian" (from *φρυγία*), referring to a fern of the maidenhair or spleenwort variety, Dioscor. i. 70, iii. 151.

627 ἦν.[1] Ἀλκαῖος γοῦν ὁ ποιητής, εἴ τις καὶ ἄλλος μουσικώτατος γενόμενος, πρότερα τῶν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν[2] τίθεται, μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος. διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενός φησιν·

μαρμαίρει δὲ μέγας δόμος χαλκῷ· πᾶσα δ' Ἄρῃ
κεκόσμηται στέγη
λαμπραῖσιν[3] κυνίαισι, κὰτ τᾶν[4] λευκοὶ καθύπερθεν
ἵππιοι λάφοι
b νεύουσιν, κεφαλαῖσιν ἀνδρῶν ἀγάλματα· χάλκιαι
δὲ πασσάλοις[5]
κρύπτοισιν[6] περικείμεναι λαμπραὶ κναμίδες,[7] ἄρκος
ἰσχυρῶ βέλευς·
θόρρακές τε νέω[8] λίνω, κοίλαι[9] τε κατ' ἀσπίδες
βεβλημέναι,
πὰρ δὲ Χαλκιδικαὶ σπάθαι, πὰρ δὲ ζώματα πολλὰ
καὶ κυπάσσιδες.[10]
τῶν οὐκ ἔστι λαθέσθ',[11] ἐπειδὴ πρώτισθ' ὑπὸ ἔργον
ἔσταμεν[12] τόδε.

καίτοι μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν ὀργάνων. ἀλλ' οἱ παλαιοὶ τὴν c ἀνδρείαν ὑπελάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν, καὶ ταύτῃ τὰ πολλὰ[13] προσνέμειν . . . οὐ τοῖς ἄλλοις. Ἀρχίλοχος γοῦν[14] ἀγαθὸς ὢν

[1] προτροπὴ ἦν ἐπ' ἀνδρείαν CE: ἐπ' ἀνδρείαν προτροπήν A.
[2] τὰ κατὰ τὸν ἄνδρα C: τὰ κατ' ἀνδρείαν (?) Kaibel.
[3] λαμπρᾶισι A.
[4] κατταν A.
[5] πασάλοισ A.
[6] κρυπτοῖσιν A.
[7] κναμιδεσ A.
[8] νεωι A.
[9] κοιλαι A.
[10] κυππατιδεσ (sic) A.
[11] λαθέσθαι A.
[12] εσταμεν A.

bravery.[a] At any rate the poet Alcaeus, who certainly was very musical, if any one ever was, places deeds of bravery higher than the achievements of poetry, since he was more than ordinarily warlike.[b] Wherefore, pluming himself on these activities, he says[c]: "The great hall glistens with bronze; the whole roof is adorned by the War-god with shining helmets, and over them wave white plumes of horsehair, adornments for the heads of heroes; shining greaves of bronze, defence against the cruel missiles, hide the pegs on which they hang; corslets of new linen and hollow shields lie scattered on the ground, and beside them are Chalcidic swords, beside them, too, many sashes and tunies.[d] These we must not forget, now that before all else we have set ourselves to this task." And yet it doubtless would have been more fitting for his house to be full of musical instruments. However, the men of old assumed that bravery is the highest of civic virtues, and to this they thought it right to allot most honours . . . not to other men. Archilochus, at any rate, who was an

[a] Müller (*F.H.G.* iv. 293) attributes this remark to Agias.

[b] Alcaeus took an active part in the struggles against the tyrants of Lesbos.

[c] *P.L.G.*[4] iii. 153, Diehl i. 413, Edmonds i. 332. For the proper Lesbian forms, with psilosis and barytonesis, see these editors.

[d] The word here rendered "tunie" seems to have referred to the skirt or fustanella hanging below the corslet. Hesych. *s. κύπασσις· περίζωμα. καὶ χιτάνος εἶδος.* Harpocr. *οἱ γλωσσογράφοι χιτῶνος εἴδός φασιν εἶναι . . . οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ Ἱππῶνάξ τε καὶ Ἑκαταῖος . . . καὶ Ἀριστοφάνης.* The last probably had the form *κύπαττις*, which is not impossible for the Lesbian, *cf.* *ὄττις*=*ὅστις*.

[13] *πολιτικά* CE. Lacuna marked by Schweighäuser.
[14] Schweighäuser: *τοῦ* A, *οὖν* CE.

ποιητὴς πρῶτον ἐκαυχήσατο τῷ[1] δύνασθαι μετέχειν τῶν πολιτικῶν[2] ἀγώνων, δεύτερον δὲ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων·

εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων[3] ἐρατὸν[4] δῶρον ἐπιστάμενος.

ὁμοίως δὲ καὶ Αἰσχύλος τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικὴν οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπι-
d γραφῆναι ἠξίωσεν μᾶλλον τὴν ἀνδρείαν, ποιήσας·

ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι[5]
καὶ βαθυχαῖταί κεν[6] Μῆδοι ἐπιστάμενοι.

Διόπερ καὶ οἱ ἀνδρειότατοι Λακεδαιμόνιοι μετ' αὐλῶν στρατεύονται, Κρῆτες δὲ μετὰ λύρας, μετὰ δὲ συρίγγων καὶ αὐλῶν Λυδοί, ὡς Ἡρόδοτος ἱστορεῖ. πολλοὶ δὲ καὶ τῶν βαρβάρων τὰς ἐπικηρυκείας ποιοῦνται μετ' αὐλῶν καὶ κιθάρας, καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς. Θεόπομπος δ' ἐν τεσσαρακοστῇ ἕκτῃ τῶν Ἱστοριῶν
e "Γέται, φησί, κιθάρας ἔχοντες καὶ κιθαρίζοντες

[1] τῷ om. CE. [2] ACE: πολεμικῶν Piccolomini.
[3] A: μουσάων CE. [4] ἐρατᾶν, ἐρατῶν, Plut. mss.
[5] ἀνειποι A.
[6] βαθυχειται κεν A: βαθυχαιτηεὶς Μῆδος ἐπιστάμενος Vit. Aesch.

---

[a] *P.L.G.*[4] ii. 383, Diehl i. 211, Plut. *Phoc.* 7; *cf.* Athen. 30 f (vol. i. p. 134).

excellent poet, made it his first boast that he was able to take part in these civic rivalries, and only secondarily mentioned his poetic talents, saying [a]: "I am the squire of the lord Enyalius, and I am versed, too, in the lovely gift of the Muses." Similarly Aeschylus also, for all the great repute which he enjoys because of his poetry, none the less thought it right to have his bravery recorded by preference on his tomb, having composed this inscription [b]: "Of his glorious might the grove at Marathon [c] could tell, and the long-haired Medes—for they know!"

Hence it is [d] that the brave Lacedaemonians march to battle with the music of flutes, the Cretans with the lyre, the Lydians with Pan's-pipes and flutes, as Herodotus records.[e] Many of the barbarians also conduct diplomatic negotiations to the accompaniment of flutes and cithara to soften the hearts of their opponents. Theopompus, in the forty-sixth book of his *Histories*, says [f]: "The Getae conduct negotiations holding citharas in their hands and

[b] *P.L.G.*[4] ii. 241, Diehl i. 66, Edmonds (L.C.L.) i. 240, *Vit. Aesch.* 120 Westermann: ἀποθανόντα δὲ Γελῷοι . . . ἐτίμησαν μεγαλοπρεπῶς ἐπιγράψαντες οὕτω·

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας

"This monument shelters Aeschylus of Athens, son of Euphorion, who died in wheat-bearing Gela." Plut. 604 F, Voss, *Heraclid. Pont.* 75.

[c] His brother Cynegeirus lost his life in the battle, Hdt. vi. 114; Aeschylus himself was represented, it would seem, in the Painted Porch, Paus. i. 21. 2. See the newly-found lines written by him for the men who fell at Marathon, J. H. Oliver, *Hesperia* ii. 480-494, v. 225-234.

[d] Reverting to the theme that music inspires virtue, above, 626 a. For the examples given *cf.* 517 b (vol. v. p. 326).

[e] i. 17, of the Lydians.

[f] *F.H.G.* i. 319, J. 2 B 581, G. and H. 209.

τὰς ἐπικηρυκείας ποιοῦνται." ὅθεν ἔοικεν καὶ Ὅμηρος διατηρῶν τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν λέγειν[1]·

φόρμιγγός θ', ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην,

ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. ἣν δ' ὡς ἔοικε τοῦτο νενομισμένον, πρῶτον μὲν ὅπως ἕκαστος τῶν εἰς μέθην καὶ πλήρωσιν ὡρμημένων ἰατρὸν λαμβάνῃ τῆς ὕβρεως καὶ τῆς ἀκοσμίας τὴν μουσικήν, εἶθ' ὅτι τὴν αὐθάδειαν παύει[2]· περιαιρουμένη γὰρ τὴν στυγνότητα
f ποιεῖ πρᾳότητα καὶ χαρὰν ἐλευθέριον, ὅθεν καὶ Ὅμηρος εἰσήγαγε τοὺς θεοὺς χρωμένους ἐν τοῖς πρώτοις τῆς Ἰλιάδος τῇ μουσικῇ. μετὰ γὰρ[3] τὴν περὶ τὸν Ἀχιλλέα φιλοτιμίαν διετέλουν[4] ἀκροώμενοι

φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ',[5] αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

παύσασθαι γὰρ ἔδει τὰ νείκη καὶ τὴν στάσιν, καθάπερ ἐλέγομεν.[6] ἐοίκασιν οὖν οἱ πολλοὶ τὴν ἐπιστήμην ἀποδιδόναι ταῖς συνουσίαις ἐπανορθώσεως χάριν καὶ ὠφελείας· ἀλλὰ μὴν οἱ ἀρχαῖοι καὶ
628 περιέλαβον ἔθεσι καὶ νόμοις τοὺς τῶν θεῶν ὕμνους ᾄδειν ἅπαντας ἐν ταῖς ἑστιάσεσιν, ὅπως καὶ διὰ τούτων τηρῆται τὸ καλὸν καὶ σωφρονικὸν ἡμῶν. ἐναρμονίων γὰρ ὄντων τῶν ᾀσμάτων προσγενόμενος ὁ τῶν θεῶν λόγος ἀποσεμνύνει τὸν ἑκάστων τρόπον.

[1] Musurus: λέγει A.
[2] A: παύει CE.
[3] Kaibel: δὲ A.
[4] γὰρ after διετέλουν deleted by Kaibel.
[5] θ' added from Homer.
[6] Schweighäuser: λέγομεν A.

Of all the Greeks the Spartans have most faithfully preserved the art of music, employing it most extensively, and many composers of lyrics have arisen among them. Even to this day they carefully retain the ancient songs, and are very well taught in them and strict in holding to them. Hence Pratinas says[f]: "The Spartan, that cicada ready for a chorus." Wherefore, also, their poets continually addressed songs in terms like these[g]: "Leader of sweetest hymns," and "Mellifluous melodies of the Muses." For people were glad to turn from the soberness and austerity of life to the solace of music, because the art has the power to charm. With good reason, therefore, the listeners enjoyed it.

Demetrius of Byzantium, in the fourth book of his

[b] *Il.* ii. 731; whether Ἀσκληπιοῦ or Ἀσκληπιόο is read, the metre halts on a cretic.

[c] *Il.* xii. 208; ὄφιν at the close gives two short syllables (a pyrrhic); see Leaf's note.

[d] *Cf. Il.* viii. 305 καλὴ Κασσιάνειρα δέμας εἰκυῖα θεῇσι and Leaf's note.

[e] *Od.* ix. 212, a verse ending in a dactyl (ἧμα) instead of a trochee or spondee. It may be corrected to ἧα.

[f] *P.L.G.*[4] iii. 559, Diehl ii. 126; on the cicada see Athen. 456 e (vol. iv. pp. 570-572), 680 d (vol. vii. p. 142).

[g] *P.L.G.*[4] iii. 710, Diehl ii. 30, 23 (ascribed to Alcman). Wilamowitz deemed these quotations inappropriate here, but the writer is emphasizing the importance of melody (ᾠδαί, μέλη) in Sparta.

b Δημήτριος ἐν τετάρτῳ περὶ Ποιημάτων,[1] οὐχ ὥσπερ νῦν τοὺς μισθουμένους τοὺς χορούς, ἀλλὰ τοὺς καθηγουμένους τοῦ χοροῦ, καθάπερ αὐτὸ τοὔνομα σημαίνει.

Καὶ τὸ χρηστομουσεῖν καὶ μὴ παραβαίνειν τοὺς ἀρχαίους τῆς μουσικῆς νόμους.

Συνέβαινε δὲ τὸ μὲν παλαιὸν φιλομουσεῖν τοὺς Ἕλληνας· μετὰ δὲ ταῦτα γενομένης ἀταξίας καταγηρασάντων[2] σχεδὸν ἁπάντων τῶν ἀρχαίων νομίμων ἥ τε προαίρεσις αὕτη κατελύθη καὶ c τρόποι μουσικῆς φαῦλοι κατεδείχθησαν, οἷς ἕκαστος τῶν χρωμένων ἀντὶ μὲν πρᾳότητος περιεποιεῖτο μαλακίαν, ἀντὶ δὲ σωφροσύνης ἀκολασίαν καὶ ἄνεσιν. ἔτι[3] δ' ἴσως τοῦτο μᾶλλον καὶ ἐπὶ πλέον προαχθήσεται ἐὰν μή τις ἀγάγῃ πάλιν εἰς τὸ συμφανὲς[4] τὴν πάτριον μουσικήν. τὸ παλαιὸν γὰρ καὶ τῶν ἡρώων τὰς πράξεις καὶ τῶν θεῶν τοὺς ὕμνους[5] δι' ᾠδῆς ἐποιοῦντο.[6] Ὅμηρος γοῦν φησιν ἐπ' Ἀχιλλέως· "ἄειδε δ' ἄρα κλέα ἀνδρῶν," ἤτοι[7] ἡρώων. καὶ τὸν Φήμιον δέ φησιν ὅτι

πολλὰ βροτῶν θελκτήρια οἶδεν,
ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί.

d τὸ δὲ ἔθος τοῦτο καὶ παρὰ τοῖς βαρβάροις ἐσῴζετο, ὥς φησι Δίνων ἐν τοῖς Περσικοῖς. τὴν γοῦν Κύρου τοῦ πρώτου ἀνδρείαν καὶ τὸν μέλλοντα πόλεμον ἔσεσθαι πρὸς Ἀστυάγην προείδοντο οἱ

[1] ποιημάτων 452 d, 548 d: ποιήματοσ A.
[2] B: και γηρασάντων (sic) A, ὕστερον δὲ γηρασάντων CE.
[3] ἔτι Coraes: ἐσται ACE.
[4] ACE: εἰς τοὐμφανὲς Valckenaer.
[5] μύθους (?) Kaibel.
[6] ἐποίουν Wilamowitz.
[7] ἤτοι added by Gulick.

work *On Poetry*, says that they used to employ the term *choregi*, not, as to-day, of the men who hired the choruses, but of those who led the chorus, as the etymology of the word denotes.[a]

Also it was customary to practise good music and not violate the ancient rules of the art.[b]

It happened that in ancient times the Greeks were music-lovers; but later, with the breakdown of order, when practically all the ancient customs fell into decay, this devotion to principle ceased, and debased fashions in music came to light, wherein every one who practised them substituted effeminacy for gentleness, and licence and looseness for moderation. What is more, this fashion will doubtless be carried further if some one does not bring the music of our forebears once more to open practice. For in ancient times it was the acts of heroes and the praise of gods that the poets put to song-music. Homer, for example, says of Achilles[c]: "And he was singing the glorious deeds of men," that is, of heroes. And of Phemius he says[d]: "He knoweth many charms for mortals, deeds of men and of gods, which minstrels celebrate." This custom was kept up also among the barbarians, as Dinon declares in his *Persian History*.[e] It was the singers, for example, that foresaw the courage of the first Cyrus and the war he was to wage against

[a] So the girl who leads Alcman's *Partheneion*, Edmonds (L.C.L.) i. 54, is ἁ κλεννὰ χοραγός, and bears the name Hagesichora. On Demetrius of Byzantium see P.-W. iv. 2841.

[b] An isolated excerpt, which possibly belonged to the next sentence.

[c] *Il.* ix. 189. [d] *Od.* i. 337.

[e] *F.H.G.* ii. 90; Hdt. i. 120-122 knows nothing of this, and says that the Magians failed to see what was coming.

ᾠδοί. "ὅτε γὰρ (φησίν) ᾐτήσατο[1] τὴν εἰς Πέρσας ἀποδημίαν ὁ Κῦρος (ἐγεγόνει δ' αὐτοῦ πρότερον ἐπὶ τῶν ῥαβδοφόρων, εἶθ' ὕστερον ἐπὶ τῶν ὁπλοφόρων) καὶ ἀπῆλθεν· εὐωχουμένου οὖν τοῦ Ἀστυάγους μετὰ τῶν φίλων τότε Ἀγγάρης τις[2] ὄνομα (οὗτος δ' ἦν τῶν ᾠδῶν ὁ ἐνδοξότατος) ᾖδεν εἰσκληθεὶς τά τε ἄλλα τῶν εἰθισμένων καὶ τὸ
e ἔσχατον εἶπεν ὡς ἀφεῖται εἰς τὸ ἕλος[3] θηρίον μέγα, θρασύτερον ὑὸς ἀγρίου· ὃ ἂν κυριεύσῃ τῶν καθ' αὐτὸ[4] τόπων, πολλοῖς μετ' ὀλίγον ῥᾳδίως μαχεῖται. ἐρομένου δὲ τοῦ Ἀστυάγους 'ποῖον θηρίον;' ἔφη 'Κῦρον τὸν Πέρσην.' νομίσας οὖν ὀρθῶς αὐτὸν ὑπωπτευκέναι καὶ μεταπεμπόμενος[5] . . . οὐδὲν ὤνησεν."

Ἐγὼ δὲ ἔχων ἔτι πολλὰ λέγειν περὶ μουσικῆς αὐλῶν ἀκούων βόμβου καταπαύσω τὸ πολυλογεῖν, τὰ ἐκ Φιλαύλου Φιλεταίρου ἐπειπών·

ὦ Ζεῦ, καλόν γ' ἔστ' ἀποθανεῖν αὐλούμενον.
f τούτοις ἐν Ἅιδου γὰρ μόνοις ἐξουσία
ἀφροδισιάζειν ἐστίν. οἱ δὲ τοὺς τρόπους
ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ
εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον.

Μετὰ δὲ ταῦτα ζητήσεως γενομένης περὶ σαμ-

[1] Kaibel: ἠγήσατο A. [2] τις added by Kaibel.
[3] Schweighäuser: τὸ ἔλεσο A, τοὺς ἕλληνας CE.
[4] Meineke: αὐτὸν ACE.
[5] Lacuna marked by Kaibel.

[a] His father Cambyses' country.
[b] A kind of constable or usher in the palace.
[c] Implying that he was at first relieved at Cyrus's departure.

Astyages. "It was at the time (says Dinon) when Cyrus requested permission to visit Persia [a] (he had previously been in charge of Astyages' rod-bearers,[b] and later of his men-at-arms) and had departed; Astyages, therefore, celebrated a feast [c] in company with his friends, and on that occasion a man named Angarês (he was the most distinguished of the singers) was invited, and not only began to sing other customary songs but also, at the last, he told how that a mighty beast had been let loose in the swamp, bolder than a wild boar; which beast, if it got the mastery of the regions round it, would soon contend against a multitude without difficulty. And when Astyages asked, 'What beast?' he replied, 'Cyrus the Persian.' Believing, therefore, that his suspicion about him [d] had been correct, he kept summoning him to return . . . it did no good."

Though I might say many things more on the subject of music, I hear the loud trill of flutes, and will therefore bring my long-winded discourse to a close, after repeating the lines from *The Flute-Lover* of Philetaerus [e]: "Zeus, it's indeed a fine thing to die to the music of flutes. For only to such is it permitted in Hades to revel in love affairs, whereas those whose manners are sordid, having no knowledge of music, must carry water to the leaky jar." [f]

After this questions arose about the sambuca, and

[a] Namely, that Cyrus would be king in his stead, Hdt. i. 108.
[e] Kock ii. 235.
[f] The punishment of the Danaids, Hor. *Od.* iii. 11. 25,

> audiat Lyde scelus atque notas
> virginum poenas et inane lymphae
> dolium fundo pereuntis imo;

cf. Plato, *Rep.* 363 D κοσκίνῳ (sieve) ὕδωρ ἀναγκάσουσι φέρειν.

βύκης ἔφη ὁ Μασούριος ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην διειλέχθαι τε περὶ αὐτοῦ Εὐφορίωνα τὸν ἐποποιὸν ἐν τῷ περὶ Ἰσθμίων,[1] χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ
634 Τρωγλοδύτας τετραχόρδῳ ὄντι· ἱστορεῖν δὲ τοῦτο Πυθαγόραν ἐν τῷ περὶ τῆς Ἐρυθρᾶς Θαλάσσης. καλεῖται δέ τι καὶ τῶν πολιορκητικῶν ὀργάνων σαμβύκη, οὗ τό τε σχῆμα καὶ τὴν κατασκευὴν ἀποδείκνυσι Βίτων ἐν τῷ πρὸς Ἄτταλον περὶ Ὀργάνων. καὶ Ἀνδρέας ὁ Πανορμίτης ἐν τῷ τριακοστῷ τρίτῳ τῶν Σικελικῶν τῶν κατὰ πόλιν, ὡς ἀπὸ δύο νεῶν[2] προσάγοιτο τοῖς τῶν ἐναντίων τείχεσι· καλεῖσθαί τε σαμβύκην, ἐπειδὴ ὅταν ἐξ-
b ηρθῇ γίνεται σχῆμα νεὼς καὶ κλίμακος ἐνοποιούμενον,[3] ὅμοιον δέ τί ἐστιν καὶ τὸ τῆς σαμβύκης. Μόσχος δ' ἐν πρώτῳ Μηχανικῶν Ῥωμαϊκὸν εἶναι λέγει τὸ μηχάνημα καὶ Ἡρακλείδην τὸν Ταραντῖνον εὑρεῖν αὐτοῦ τὸ εἶδος. Πολύβιος δ' ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν "Μάρκελλος,[4] φησί, δυσχρηστούμενος ἐν τῇ Συρακουσῶν πολιορκίᾳ ὑπὸ τῶν Ἀρχιμήδους κατασκευασμάτων ἔλεγεν ταῖς μὲν ναυσὶν αὐτοῦ κυαθίζειν ἐκ θαλάσσης Ἀρχιμήδην, τὰς δὲ σαμβύκας ῥαπιζομένας ὥσπερ ἐκ πότου[5] μετ' αἰσχύνης ἐκπεπτωκέναι."

[1] Musurus (*cf.* 182 e, 635 a): περι ἰσμων A.
[2] Lipsius: ὀνων A.
[3] ἐνοποιούμενον A (ἐνοποιηθὲν Polyb.): ἐνοποιουμένων CE.
[4] A: Μάρκος Polyb.
[5] ἐκποτου A: ἐκσπόνδους Polyb.

[a] Always cited thus by Athen. (vol. ii. pp. 306, 312, vol. iii. p. 184, vol. iv. p. 478), although, as the title here shows, he was also a philologist; Meineke, *Anal. Alex.* frag. 33, p. 68.

Masurius explained that it is a musical instrument with a high pitch, and that the epic poet [a] Euphorion discoursed on it in his work *On the Isthmian Games*, saying that it was used by the Parthians and the Troglodytes, and that it had four strings; Pythagoras, he says, records this in his work *On the Red Sea*.[b] There is also a siege-engine called sambuca, the form and construction of which are described by Biton [c] in his work *On Engines*, addressed to Attalus. And Andreas of Panormus, in the thirty-third book of his *Sicilian History*, treated city by city, says [d] that it was brought to bear against the enemy's walls from two ships; further, that it was called a sambuca because, when raised aloft, its appearance as a united whole becomes that of a ship and a ladder, and the appearance of the musical sambuca is somewhat similar. Moschus in the first book of his *Mechanics* says that the contrivance was Roman, and that Heracleides of Tarentum invented the idea of it. Polybius says in the eighth book of his *Histories* [e]: "Marcellus, baffled by the structures invented by Archimedes at the siege of Syracuse, was wont to say that Archimedes ladled water out of the sea with Marcellus's ships, while as for the sambucas,[f] they had been beaten and thrown out with ignominy, like harps from a drinking party."

[b] This Pythagoras is mentioned at 183 f (vol. ii. p. 310), Ael. *N.A.* xvii. 8.

[c] Polyb. viii. 6, Plut. *Marcell.* 15 (brought to the siege of Syracuse by the Romans without success), Wescher, *Poliorcétique*, pp. 57-58, *Dict. Antiq.* ii. 595.

[d] *F.H.G.* iv. 302.

[e] Chap. 8. 5-6.

[f] Brought by Marcellus to be used as storming-bridges. He puns on the other sense.

Εἰπόντος δὲ ἐπὶ τούτοις Αἰμιλιανοῦ· "ἀλλὰ μήν,
c ὦ ἑταῖρε Μασούριε, πολλάκις καὶ αὐτὸς ἐν ἐννοίᾳ γίνομαι, μουσικῆς ὢν ἐραστής, περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδος ἢ κιθάρας ἐστίν. ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που·

ψάλλω δ' εἴκοσι χορδαῖσι[1] μάγαδιν[2] ἔχων,
ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς.

Ἴων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ ὡς περὶ αὐλῶν λέγει διὰ τούτων·

Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς.

ὅπερ ἐξηγούμενος ἰαμβεῖον Ἀρίσταρχος ὁ γραμματικός, ὃν μάντιν ἐκάλει Παναίτιος ὁ Ῥόδιος
d φιλόσοφος διὰ τὸ ῥᾳδίως καταμαντεύεσθαι τῆς τῶν ποιημάτων διανοίας, γένος αὐλοῦ φησιν εἶναι τὸν μάγαδιν, οὔτ' Ἀριστοξένου τοῦτ' εἰπόντος ἐν τοῖς περὶ Αὐλητῶν ἢ ἐν τοῖς περὶ Αὐλῶν καὶ[3] Ὀργάνων, ἀλλὰ μὴν οὐδὲ Ἀρχεστράτου· πεποίηται γὰρ καὶ τούτῳ δύο βυβλία περὶ Αὐλητῶν. οὐκ εἶπεν δὲ τοῦτο οὐδὲ Πύρρανδρος ἐν τῷ περὶ Αὐλητῶν, οὐδὲ Φίλλις ὁ Δήλιος. ξυνέγραψε γὰρ καὶ οὗτος περὶ Αὐλητῶν καὶ Εὐφράνωρ. Τρύφων δ' ἐν δευτέρῳ περὶ Ὀνομασιῶν λέγει οὕτως· "ὁ
e δὲ μάγαδις καλούμενος αὐλός." καὶ πάλιν· "ὁ[4]

[1] εἰκοσίχορδον μάγαδιν χείρεσσι Wilamowitz.
[2] μαγάδην Dindorf, μαγάδιν Diehl.
[3] Αὐλῶν καὶ perhaps to be deleted (Kaibel).
[4] ὁ added by Kaibel (*cf.* 182 d). αὐλός, ὁ καὶ παλαιομάγαδις Schoenemann (*cf.* vol. ii. p. 305 note 5).

[a] *P.L.G.*[4] iii. 260, Diehl i. 465, Edmonds ii. 148, below, 635 c. On the μάγαδις *cf.* Athen. 182 f (vol. ii. p. 306), Pollux iv. 61.

Upon this Aemilianus said: Look you, Masurius, old friend, I myself, being a lover of music, have often pondered the question about what is called the magadis, whether it is a variety of flute or harp. For the delectable Anacreon says, I believe[a]: "With magadis in hand I sing to its twenty strings whilst thou, O Leucaspis, exultest in thy youth." Yet Ion of Chios, in *Omphalē*, speaks in the following lines as if he meant flutes[b]: "Let the Lydian magadis-flute[c] lead the cry." In expounding this iambic verse the grammarian Aristarchus, whom Panaetius, the philosopher of Rhodes, used to call the diviner because he so easily divined the meaning of poetic lines, says that the magadis is a kind of flute, although Aristoxenus[d] says not a word of this either in his chapters *On Flute-Players* or in those *On Flutes and Musical Instruments*,[e] nor does Archestratus either; for the latter has composed two books *On Flute-Players*. Again, Pyrrander says nothing of this in his work *On Flute-Players*, nor Phillis of Delos; for he, too, compiled a work *On Flute-Players*, as well as Euphranor. Tryphon, in his second book *On the Use of Terms*, has this to say[f]: "The flute called magadis." And again: "That

[b] *T.G.F.*[2] 736, *cf.* Hesych. *s.* μαγάδεις.

[c] A. A. Howard in *H.S.C.P.* iv. 40 identifies this αὐλός with the αὐλοὶ κιθαριστήριοι of Hesych. *s.* μαγάδεις, Pollux iv. 81, Athen. 182 c-d (vol. ii. p. 304), which were tuned to accord with the lyre (μάγαδις).

[d] A similar remark on his silence is made by Athen. 174 c (vol. ii. p. 290).

[e] Although Müller (*F.H.G.* ii. 286) allows this title, it is found nowhere else except as a general description of the subject matter of Tryphon's περὶ Ὀνομασιῶν, Athen. 174 e (vol. ii. p. 292). Ammonius has simply περὶ Ὀργάνων. Euphranor's περὶ Αὐλῶν is mentioned at 182 c (vol. ii. p. 304).

[f] Velsen 77.

μάγαδις ἐν ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης[1] ἐν Ὁπλομάχῳ φησίν·

μαγάδι[2] λαλήσω μικρὸν ἅμα σοι καὶ μέγα.[3]"

τὴν ἀπορίαν οὖν μοι ταύτην οὐδεὶς ἄλλος δυνήσεται ἀπολύσασθαι, καλὲ Μασούριε, ἢ σύ."

Καὶ ὃς ἔφη· "Δίδυμος ὁ γραμματικὸς ἐν ταῖς εἰς Ἴωνα[4] Ἀντεξηγήσεσιν, ἑταῖρε Αἰμιλιανέ, μάγαδιν αὐλὸν ἀκούει τὸν κιθαριστήριον· οὗ μνημονεύειν Ἀριστόξενον ἐν πρώτῳ περὶ Αὐλῶν Τρήσεως
f λέγοντα πέντε γένη εἶναι αὐλῶν, παρθενίους, παιδικούς, κιθαριστηρίους, τελείους, ὑπερτελείους. ἢ ἐλλείπειν οὖν δεῖ παρὰ τῷ Ἴωνι τόν τε σύνδεσμον, ἵν' ᾖ μάγαδις αὐλός θ'[5] ὁ προσαυλούμενος τῇ μαγάδιδι.[6] ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων φησί, Λυδῶν[7] τε εὕρημα. διὸ καὶ τὰς Λυδὰς[8] ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ διὰ τούτων·

ἀλλ' εἶα, Λυδαὶ ψάλτριαι, παλαιθέτων
ὕμνων ἀοιδοί, τὸν ξένον κοιμήσατε.[9]

[1] 182 d: ἀλεξανδρίδησ A.
[2] Kaibel: μάγαδιν A.
[3] Schweighäuser: μέγαν A.
[4] εἰς Ἴωνα Wilamowitz: πρὸσ ἴωνα A, πρὸς Ἐπιγένη (*cf.* 468 e) εἰς Ἴωνα Bapp.
[5] θ' added by Kaibel.
[6] μαγάδιδι Kaibel: μαγάδι A (*cf.* Xen. *Ἀη.* vii. 3. 32).
[7] Musurus: ἀυδῶν A. [8] Musurus: ἀυδάσ A.
[9] Meineke: κοσμήσατε A.

named magadis can produce at the same moment a high and a low tone, as Anaxandrides says in *The Drill-Sergeant* [a]: 'With my magadis I will babble to you something at once soft and loud.'" This question, therefore, no one else will be able to solve for me, my good Masurius, but you.

Masurius replied: Didymus the grammarian, in his *Controversial Notes on Ion*, friend Aemilianus, understands [b] by magadis the flute which is attuned to the harp (*kitharisterion*); this, Didymus says, is mentioned by Aristoxenus [c] in the first book of his treatise *On Flute-Boring*, stating that there are five kinds of flute—the virginal, child-pipes, harp-pipes, complete, and super-complete.[d] Or else, then, the conjunction "and" must have fallen out in the line from Ion,[e] so that it will read "The Lydian magadis *and* the flute" which is played to accompany the magadis. For the magadis is certainly an instrument played like a harp, as Anacreon makes clear,[f] and it is an invention of the Lydians. Wherefore Ion, in *Omphalê*, says that the Lydian girls are harp-players in these lines [g]: "Up then, ye Lydian harp-players, singers of ancient hymns, lull our guest

[a] Kock ii. 149, Athen. 182 d (vol. ii. p. 304).

[b] Schmidt 302, who reads πρὸς Ἰόβαν, "against Juba," for πρὸς Ἴωνα (see critical note 4); the latter is not impossible, since Didymus ἐν τῷ ἐξηγητικῷ seems to have contradicted Ion at several points, Athen. 468 d–f (vol. v. p. 66).

[c] *F.H.G.* ii. 286, Athen. 176 f (vol. ii. p. 302), Howard, *loc. cit.* 38-40, Marquard *Aristox.* 28, 256, Laloy, *Aristoxène* 16.

[d] The last two are also called ἀνδρεῖοι, 176 f (vol. ii. p. 302), used to accompany men's voices, and of lower pitch. Aristotle, *Hist. An.* vii. 1. 7 says the παρθένοι had a higher pitch than the παιδικοί.

[e] Above, 634 c.

[f] 634 c (p. 423).

[g] *T.G.F.*² 736.

635 Θεόφιλος δ' ὁ κωμικὸς[1] ἐν Νεοπτολέμῳ[2] καὶ τὸ τῇ μαγάδιδι ψάλλειν[3] μαγαδίζειν λέγει ἐν τούτοις·

πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα
ἐστὶν μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους·
οὐδεὶς γὰρ ἡμῶν ταὐτὸν ᾄσεται μέλος.

Εὐφορίων δὲ ἐν τῷ περὶ Ἰσθμίων παλαιὸν μέν φησι τὸ ὄργανον εἶναι τὴν μάγαδιν, μετασκευασθῆναι δ' ὀψέ ποτε καὶ σαμβύκην μετονομασθῆναι. πλεῖστον δ' εἶναι τοῦτο τὸ ὄργανον ἐν Μιτυλήνῃ, ὡς καὶ μίαν
b τῶν Μουσῶν ἔχουσαν αὐτὸ ὑπὸ Λεσβοθέμιδος ποιηθῆναι ἀρχαίου ἀγαλματοποιοῦ. Μέναιχμος δ' ἐν τοῖς περὶ Τεχνιτῶν τὴν πηκτίδα, ἣν τὴν αὐτὴν εἶναι τῇ μαγάδιδι,[4] Σαπφώ φησιν εὑρεῖν. Ἀριστόξενος δὲ τὴν μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρέχεσθαι τὴν χρείαν, ὅπερ[5] καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ πρὸς Ἱέρωνα σκολίῳ, τὴν μάγαδιν ὀνομάσαντα "ψαλμὸν ἀντίφθογγον," διὰ τὸ διὰ[6] δύο γενῶν ἅμα καὶ διὰ πασῶν
c ἔχειν τὴν συνῳδίαν ἀνδρῶν τε καὶ παίδων.[7] καὶ Φρύνιχος δ' ἐν Φοινίσσαις εἴρηκε·

ψαλμοῖσιν ἀντίσπαστ' ἀείδοντες μέλη.

[1] Kaibel: κωμωδικὸσ A.
[2] Musurus: νεοπτολεμου A.
[3] Kaibel: μαγαδι διαψάλλειν ACE.
[4] Kaibel: μαγιδι A, μαγάδι CE.
[5] Kaibel (?) Schroeder: διόπερ A.
[6] διὰ deleted by Musurus.
[7] παίδων A: γυναικῶν CE.

---

[a] Kock ii. 475; the reply to some threat of torture.
[b] Frag. 32 Meineke, p. 67.
[c] Athen. 182 f (vol. ii. p. 306).

to sleep." And the comic poet Theophilus in *Neoptolemus* uses the verb *magadizo* of singing and playing to the magadis, in these lines [a]: "For a son and a father and a mother to be placed on the rack and made to play the magadis (*magadizein*) is a poor scheme; not one of us will sing the same tune." Now Euphorion, in his work *On the Isthmian Games*, says [b] that the instrument known as the magadis was very old, but in more recent times its construction was altered and its name changed to sambuca. This instrument, he says, was most commonly used in Mytilenê, so much so, indeed, that one of the Muses was portrayed by Lesbothemis, an ancient sculptor, holding it in her hands.[c] Again, Menaechmus in his work *On Artists* asserts [d] that the pectis, which, he says, is the same as the magadis, was invented by Sappho. Aristoxenus says [e] that the magadis and the pectis may be played without a plectrum, by simply plucking with the fingers. This, he says, is in fact intimated [f] by Pindar, in the *Scolion to Hieron*, when he called the magadis "the plucking that sounds in answering strains," because with the two kinds of instrument [g] played together and at the interval of an octave there is perfect unison of men's and boys' voices. Again, Phrynichus says in *The Phoenician Women* [h]: "With plucking of the strings they sing their lays in answering strains." And

[a] *Sar. Al. M.* 146, frag. 5, J. 2 B 674.

[b] *F.H.G.* ii. 286.

[f] *P.L.G.*[5] i. 440, Sandys 584–586, Athen. 512 d (vol. v. p. 302), below, 635 d-e.

[g] The magadis and the barbitos, as appears from 635 d-e. The barbitos had a lower register (at least by an octave) than the pectis and the magadis.

[h] *T.G.F.*[2] 723.

καὶ Σοφοκλῆς ἐν Μυσοῖς·

πολὺς δὲ Φρὺξ τρίγωνος, ἀντίσπαστά τε[1]
Λυδῆς[2] ἐφυμνεῖ[3] πηκτίδος συγχορδία.[4]

Διαποροῦσι δ' ἔνιοι ὅπως τῆς μαγάδιδος οὔσης κατὰ Ἀνακρέοντα (ὀψὲ γάρ ποτε τὰ πολύχορδα ὀφθῆναι) μνημονεύων αὐτῆς ὁ Ἀνακρέων λέγει·

ψάλλω δ' εἴκοσι χορδαῖσι μάγαδιν ἔχων,
ὦ Λεύκασπι.

καὶ ὁ μὲν Ποσειδώνιός[5] φησιν τριῶν μελῳδιῶν
d αὐτὸν μνημονεύειν, Φρυγίου τε καὶ Δωρίου[6] καὶ Λυδίου· ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι· ὧν ζ' χορδαῖς ἑκάστης περαινομένης εἰκότως φάναι ψάλλειν αὐτὸν κ' χορδαῖς, τῷ ἀρτίῳ χρησάμενον ἀριθμῷ τὴν μίαν ἀφελόντα. ἀγνοεῖ δ' ὁ Ποσειδώνιος ὅτι ἀρχαῖόν ἐστιν ὄργανον ἡ μάγαδις, σαφῶς Πινδάρου λέγοντος τὸν Τέρπανδρον ἀντίφθογγον εὑρεῖν τῇ παρὰ Λυδοῖς πηκτίδι τὸν βάρβιτον·

τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρε
πρῶτος ἐν δείπνοισι Λυδῶν[7]
e ψαλμὸν ἀντίφθογγον[8] ὑψηλᾶς ἀκούων πηκτίδος.

πηκτὶς δὲ καὶ μάγαδις ταὐτόν, καθά φησιν ὁ Ἀριστόξενος καὶ Μέναιχμος ὁ Σικυώνιος ἐν τοῖς περὶ

[1] τε added from 183 e.
[2] 183 e: ἀυδησ A.
[3] 183 e: ἐφυμνει (sic) A.
[4] συγχορδίαι A.
[5] ποσιδώνιοσ A.
[6] καὶ Δωρίου added by Musurus.
[7] Schneider: λύδιον A.
[8] ἀντιφθογγοσ A.

Sophocles in the *Mysians*[a]: "Oft resounds the Phrygian triangle,[b] and with answering strains the harmony of the Lydian pectis sings."

Some writers are puzzled over the question how it is that, the magadis being what it was in Anacreon's time[c] (for it was at some later date that the instruments with many strings made their appearance), Anacreon when mentioning it says[d]: "With magadis in hand I sing to its twenty strings, O Leucaspis." Poseidonius, further, says[e] that Anacreon mentions three melodic scales, Phrygian, Dorian, and Lydian[f]; these, in fact, were alone used by Anacreon; and since each of these requires seven strings for their rendering, naturally he says that he sings to twenty strings, simply using a round number and subtracting the one. But Poseidonius is unaware that the magadis is an ancient instrument, although Pindar says distinctly that Terpander invented the barbitos "in answering strain" to the pectis used in Lydia[g]: "The barbitos which Terpander of Lesbos first invented one time when, at the feasts of the Lydians, he heard the plucking of high notes on the pectis sounding in answering strains." But the pectis and the magadis are the same instrument, as Aristoxenus declares,[h] and Menaechmus of Sicyon also in his work

[a] *T.G.F.*[2] 221, Athen. 183 e (vol. ii. p. 310).

[b] A harp of triangular shape.

[c] *i.e.* an instrument with only four strings, *cf.* above, 633 f (pp. 419-421). The text is mutilated and can be paraphrased only. Peppink supplies with *οὔσης οὔπω πολυχόρδου*, "being not yet of many strings."

[d] Above, 634 c, p. 422 and note *a*.

[e] *F.H.G.* iii. 277, J. 2 A 285.

[f] For these three see Plut. 1133 B and critical note 6.

[g] *P.L.G.*[5] i. 440, Sandys 584-586, above, 635 b.

[h] *Cf.* above, 635 b (p. 427).

Τεχνιτῶν. καὶ τὴν Σαπφὼ δέ φησιν οὗτος, ἥτις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος δῆλον ἐκ τούτων· τὰ Κάρνεια πρῶτος πάντων Τέρπανδρος νικᾷ, ὡς Ἑλλάνικος ἱστορεῖ ἔν τε τοῖς ἐμμέτροις Καρνεονίκαις κἂν τοῖς καταλογάδην. ἐγένετο δὲ ἡ θέσις τῶν Καρνείων κατὰ
f τὴν ἕκτην καὶ εἰκοστὴν ὀλυμπιάδα, ὡς Σωσίβιός φησιν ἐν τῷ περὶ Χρόνων. Ἱερώνυμος δ' ἐν τῷ περὶ Κιθαρῳδῶν, ὅπερ ἐστὶ πέμπτον τῶν[1] περὶ Ποιητῶν, κατὰ Λυκοῦργον τὸν νομοθέτην τὸν Τέρπανδρόν φησι γενέσθαι, ὃς ὑπὸ πάντων συμφώνως ἱστορεῖται μετὰ Ἰφίτου τοῦ Ἠλείου τὴν πρώτην ἀριθμηθεῖσαν τῶν Ὀλυμπίων θέσιν διαθεῖναι.[2] Εὐφορίων τε ἐν τῷ περὶ Ἰσθμίων τὰ πολύχορδά φησι τῶν ὀργάνων ὀνόμασι μόνον παρηλλάχθαι, παμπάλαιον δ' αὐτῶν εἶναι τὴν χρῆσιν.

636 Διογένης δ' ὁ τραγικὸς διαφέρειν οἴεται[3] πηκτίδα μαγάδιδος, λέγων οὕτως ἐν τῇ Σεμέλῃ·

καίτοι κλύω μὲν Ἀσιάδος μιτρηφόρους
Κυβέλας γυναῖκας, παῖδας ὀλβίων Φρυγῶν,
τυπάνοισι[4] καὶ ῥόμβοισι[5] καὶ χαλκοκτύπων
βόμβοις βρεμούσας ἀντίχερσι[6] κυμβάλων . . .[7]

[1] τῶν added by Kaibel.
[2] τῶν Ὀλυμπιάδων διαθεῖναι (?) Kaibel.
[3] οἴεται CE: om. A. [4] Casaubon: τυμπάνοισι A.
[5] Pierson: βομβοῖσι A.
[6] Casaubon: ἀντὶ χερσὶ A, ἀντηχέσι Methner, ἀντήρεσι (?) Kaibel.
[7] Lacuna marked by Wilamowitz.

[a] *Cf.* the discussion of their ages at 599 c (p. 229).
[b] A Dorian festival in honour of Apollo, Nilsson, *Gr. Feste*, pp. 120, 125, P.-W. x. 1986.

On Artists. The latter further says that Sappho, who lived before Anacreon,[a] was the first to use the pectis. And that Terpander also came earlier than Anacreon is plain from the following facts: Terpander was the first to win a victory at the Carneian festival,[b] as Hellanicus records[c] in his *Carneian Victors*, written in verse as well as in prose. Now the establishment of the Carneia took place in the twenty-sixth Olympiad,[d] as Sosibius declares[e] in his work *On Chronology*. Moreover, Hieronymus in his treatise on *Harp-Singers*, which is the fifth book of his work *On the Poets*, says[f] that Terpander lived in the time of Lycurgus the lawgiver, who is recorded by all, without dissent, as having arranged the first numbered establishment of the Olympic Games[g] in conjunction with Iphitus of Elis.[h] Further, Euphorion in his work *On the Isthmian Games* says[i] that the instruments with many strings varied only in their names, but the use of them was very ancient.

Diogenes the tragic poet, however, thinks that the pectis differed from the magadis, speaking as follows in his *Semelê*[j]: "And yet I hear that the turban-wearing women of Asian Cybelê, the daughters of the rich Phrygians, with drums and bull-roarers and booming of bronze cymbals in their two hands make

[a] *F.H.G.* i. 61, J. 1. 129, P.-W. viii, 143.

[b] 676-672 B.C.

[c] *F.H.G.* ii. 625.

[d] Hiller 95, frag. 5.

[e] An awkward way of saying "arranged the establishment of what is numbered as the first occurrence of the Olympic Games." At this point further proof of Anacreon's later date may have been lost (Kaibel).

[f] Paus. v. 20.1, E. N. Gardiner, *Greek Athletic Sports and Festivals*, p. 43.

[g] Meineke 67.

[h] *T.G.F.*[2] 776-777. On the rhombus, "bull-roarer," see vol. v. p. 370 note 2.

σοφὴν[1] θεῶν ὑμνῳδὸν ἰατρόν θ' ἅμα.
κλύω δὲ Λυδὰς Βακτρίας[2] τε παρθένους
ποταμῷ παροίκους Ἄλυι[3] Τμωλίαν θεὸν
δαφνόσκιον κατ' ἄλσος Ἄρτεμιν σέβειν
b ψαλμοῖς τριγώνων πηκτίδων τ'[4] ἀντιζύγοις
ὁλκοῖς κρεκούσας[5] μάγαδιν, ἔνθα[6] Περσικῷ
νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς.

καὶ Φίλλις δ' ὁ Δήλιος ἐν δευτέρῳ περὶ Μουσικῆς διαφέρειν φησὶ πηκτίδα μαγάδιδος, λέγων οὕτως· "φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβῦκαι, ἰαμβῦκαι;[7] τρίγωνα, κλεψίαμβοι, σκινδαψοί, ἐννεάχορδα. ἐν οἷς γάρ, φησί, τοὺς ἰάμβους ᾖδον ἰαμβύκας ἐκάλουν· ἐν οἷς δὲ παρελογίζοντο τὰ ἐν
c τοῖς μέτροις κλεψιάμβους. μαγάδιδας δὲ ἐν οἷς[8] τὰ διὰ πασῶν καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα. καὶ ἄλλα δ' ἦν παρὰ ταῦτα· καὶ γὰρ βάρβιτος ἢ βάρμος[9] καὶ ἄλλα πλείονα τὰ μὲν ἔγχορδα,[10] τὰ δὲ ἔνηχα κατεσκεύαζον."

Ἦν γὰρ δή τινα καὶ χωρὶς τῶν ἐμφυσωμένων

[1] σέβειν (?) Bergk. [2] Βασσάρας (?) Kaibel.
[3] Canter: παροικοῦσαλυΐ, A.
[4] τ' added by Casaubon.
[5] Casaubon: κρεκουσαισ A, κρεκούσῃ CE.
[6] ἐν δὲ Meineke.
[7] Casaubon: ἴαμβοι καὶ A, ἴαμβοι CE.
[8] ἐν οἷς added by Kaibel.
[9] βαρμοσ A: βάρωμος 182 f. [10] CE: ἔνχορδα A.

[a] Quoted from Aristoxenus 182 f (vol. ii. p. 306), *F.H.G.* ii. 286.

[b] Quasi "thieving iambi," but the real intent is not clear. The French translators render: ceux qui accompagnaient ces mêmes chants (viz. the iambic verses), mais sans en suivre précisément la mesure.

loud din . . . celebrating her who is the wise minstrel of the gods and healer as well. And I hear that the Lydian and Bactrian maidens dwelling beside the Halys river worship the goddess of Tmolus, Artemis, in her laurel-shaded grove the while they, 'mid plucking of triangles and peetides, thrum the magadis in responsive twanging, where also the flute, in Persian fashion, joins its welcome concord to the chorus." And Phillis of Delos also, in the second book of his work *On Music*, maintains that the pectis is different from the magadis; his words are these [a]: "Phoenix, pectis, magadis, sambuca, iambuca, triangle, clepsiamb, scindapsus, nine-stringed. Those, he says, with which they chanted iambic verses they call iambucas; those with which they recited in distorted fashion metrical verses, they called clepsiambi.[b] The magadides are those with which they sang notes an octave apart, the parts assigned to the singers being adjusted at equal intervals.[c] And there were other instruments besides these; for example the barbitos or barmos,[d] and many others, some of which were stringed, others percussion instruments."[e]

For of course there were some other instruments, besides those which are blown into[f] and those which

[c] *i.e.* they sang in unison, an octave apart.

[d] Or baromos, 182 f (vol. ii. p. 306).

[e] L. & S. take ἔνηχα to be wind-instruments, but as Schweighäuser rightly points out, three types are enumerated, ἔγχορδα, ἔνηχα, ἐμφυσώμενα, as indicated here and in the next paragraph. Further, ἦχος in ἐν-ηχα means sound, noise, not tone. Schol. Aristoph. *Ran.* (1305) 1340 ἀπορίᾳ λύρας ὄστρακά τινες λαβόντες ἦχον μὲν ἀπετέλουν, πάνυ δὲ ἄσημον. *Cf.* Didymus, below.

[f] *Cf.* Pollux iv. 58.

καὶ χορδαῖς διειλημμένων ἕτερα ψόφου μόνον παρασκευαστικά, καθάπερ τὰ κρέμβαλα. περὶ ὧν φησι Δικαίαρχος ἐν τοῖς περὶ τοῦ τῆς Ἑλλάδος Βίου, ἐπιχωριάσαι φάσκων ποτὲ καθ' ὑπερβολὴν εἰς τὸ προσορχεῖσθαί τε καὶ προσᾴδειν ταῖς γυναιξὶν
d ὄργανά τινα ποιά, ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις ποιεῖν λιγυρὸν ψόφον· δηλοῦσθαι δὲ ἐν τῷ τῆς Ἀρτέμιδος ᾄσματι, οὗ ἐστιν ἀρχή·

Ἄρτεμι, σοί μέ τι φρὴν ἐφίμερον
ὕμνον ὑφαινέμεναι[1] θεόθεν[2]
†αδετις· ἀλλὰ χρυσοφάεννα[3]
κρέμβαλα χαλκοπάραα χερσίν.[4]

Ἕρμιππος δ' ἐν Θεοῖς τὸ τούτοις κρούειν κρεμβαλιάζειν[5] εἴρηκεν ἐν τούτοις·

λεπάδας[6] δὲ πετρῶν ἀποκόπτοντες
κρεμβαλιάζουσι.[7]

e Δίδυμος δέ φησιν εἰωθέναι τινὰς ἀντὶ τῆς λύρας κογχύλια καὶ ὄστρακα συγκρούοντας ἔρρυθμον ἦχόν τινα ἀποτελεῖν τοῖς ὀρχουμένοις, καθάπερ καὶ Ἀριστοφάνην ἐν Βατράχοις φάναι.

Ἀρτέμων δ' ἐν τῷ πρώτῳ περὶ Διονυσιακοῦ Συστήματος[8] Τιμόθεόν φησι τὸν Μιλήσιον παρὰ[9]

[1] Bergk: ὕεναι A. [2] Hiller, Crusius: τε ὄθεν A.
[3] Bergk: χρυσοφανια A. [4] χαλκοπάρα ἀχερσίν A.
[5] Dindorf: κρεμβαλίζειν ACE.
[6] Musurus: λεπαιδασ A.
[7] Dindorf (*cf.* Hesych. *s.v.*): κρεμβαλίζουσι A.
[8] Coraes: ἐπιστήματοσ A.
[9] παρὰ A: πρῶτον (?) Kaibel.

[a] *F.H.G.* ii. 239.
[b] *P.L.G.*[4] iii. 655-656, Diehl ii. 28 (assigned to Alcman), Edmonds iii. 508.

have strings at regular intervals, instruments which merely produce a loud noise, like castanets. Of these Dicaearchus speaks in his *History of Greece*, saying [a] that they were a certain kind of instrument which were once extraordinarily popular for women to dance and sing to, and whenever one rattled them with the fingers they produced a ringing sound; this is shown, he says, in the song to Artemis which begins [b]: "O Artemis, for thee my heart impels me to weave a delectable hymn inspired of the gods. . . On, then, with bronze-cheeked castanets (crembala) shining like gold, in your hands." [c] So Hermippus, in *Gods*, calls playing with them *crembaliazein*, in these words [d]: "They knock the very limpets off the rocks when they rattle their crembala (*crembaliazousi*)." Didymus, further, says [e] that some people, in place of a harp, rattle conchs and shells together to produce a sound in time with the dancers, as Aristophanes says in *The Frogs*.[f]

Artemon, in the first book of his work *On the Dionysiac Guild*, says [g] that Timotheüs of Miletus is

[a] The quotation, as Edmonds saw, is not to be divided as in Bergk and Diehl. But I cannot follow the violent guesses wherewith Edmonds seeks to supplement sense and metre.

[d] Kock i. 232.

[e] Schmidt 250, Schol. Aristoph. *Ran.* (1305) 1340 (p. 433 note *e*).

[f] *Ran.* 1304-1307, Aeschylus contemptuously says:

καίτοι τί δεῖ
λύρας ἐπὶ τούτων; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
αὕτη κροτοῦσα; δεῦρο Μοῦσ' Εὐριπίδου,
πρὸς ἥνπερ ἐπιτήδεια ταῦτ' ᾄδειν μέλη.

[g] *F.H.G.* iv. 342. The title seems to refer to all professional artists, in music and drama. This Artemon (of Cassandreia) is quoted at 515 e (vol. v. p. 318).

τοῖς πολλοῖς δόξαι πολυχορδοτέρῳ συστήματι χρήσασθαι τῇ μαγάδι· διὸ καὶ παρὰ τοῖς Λάκωσιν εὐθυνόμενον ὡς παραφθείροι τὴν ἀρχαίαν μουσικήν, καὶ μέλλοντός τινος ἐκτέμνειν αὐτοῦ τὰς περιττὰς
f τῶν χορδῶν, δεῖξαι παρ' αὐτοῖς ὑπάρχοντα Ἀπολλωνίσκον πρὸς τὴν αὐτοῦ σύνταξιν ἰσόχορδον λύραν ἔχοντα καὶ ἀφεθῆναι.

Δοῦρις δ' ἐν τῷ περὶ Τραγῳδίας ὠνομάσθαι φησὶ τὴν μάγαδιν ἀπὸ Μάγδιος[1] Θρᾳκὸς γένος. Ἀπολλόδωρος δ' ἐν τῇ πρὸς τὴν Ἀριστοκλέους Ἐπιστολὴν Ἀντιγραφῇ "ὃ νῦν, φησίν, ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ' εἶναι μάγαδιν, ὁ δὲ κλεψίαμβος κληθείς, ἔτι[2] δ' ὁ τρίγωνος καὶ ὁ ἔλυμος καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῇ χρείᾳ
637 καθέστηκεν." καὶ Ἀλκμὰν δέ φησιν· "μάγαδιν δ' ἀποθέσθαι." Σοφοκλῆς δὲ ἐν Θαμύρᾳ·

πηκταὶ δὲ λύραι καὶ μαγάδιδες
τά τ' ἐν Ἕλλησι ξόαν' ἡδυμελῆ.

Τελέστης δ' ἐν Ὑμεναίῳ[3] διθυράμβῳ πεντάχορδόν φησιν[4] αὐτὴν εἶναι διὰ τούτων·

ἄλλος δ' ἄλλαν κλαγγὰν ἱεὶς
κερατόφωνον ἐρέθιζε μάγαδιν,

[1] A: μάγδου C.
[2] CE: ἐστι A.
[3] ὑμαναιωι A.
[4] ἐμφαίνει C.

held by most authorities to have adopted an arrangement of strings with too great a number, namely the magadis; wherefore he was even about to be disciplined by the Lacedaemonians for trying to corrupt their ancient music,[a] and some one was on the point of cutting away his superfluous strings when he pointed to a small image of Apollo among them holding a lyre with the same number and arrangement of strings as his own, and so was acquitted.

Duris, in his work *On Tragedy*, says[b] that the magadis has its name from Magdis, a Thracian by birth. Apollodorus[c] in his *Answer to Aristocles' Letter* says: "What we to-day call a psalterium is the magadis, but the clepsiambus, as it was called, the triangle, the elymus,[d] and the nine-stringed have become rather obsolete in use." And so Alcman says[e]: "To lay aside the magadis." Sophocles in *Thamyras*[f]: "Well-built lyres and magadides and all the instruments of polished wood wherewith the Greeks make sweet melody." Telestes in *Hymenaeus*, a dithyramb, indicates that the magadis has five strings, in these words[g]: "Each man, ringing out a different tone from the other, roused the horn-sounded[h] magadis with its five strings fitted together like five

[a] On the conservatism of the Lacedaemonians, characteristic of all provincial peoples in matters of art, *cf.* 628 b (p. 387), 632 f (p. 415).

[b] *F.H.G.* ii. 486, J. 2 A 146.

[c] Of Athens, J. 2 B 1107, P.-W. ii. 936.

[d] A kind of flute, 176 f (vol. ii. p. 302).

[e] *P.L.G.*[4] iii. 64, Diehl ii. 36, Edmonds i. 126.

[f] *T.G.F.*[2] 181.

[g] *P.L.G.*[4] iii. 630, Diehl ii. 156, Edmonds iii. 278.

[h] Struck by the plectrum, which was sometimes made of horn, ἐν κεραίνοις πλήκτροις, Plato, *Legg.* 795 A.

ἐν πενταρράβδῳ[1] χορδᾶν[2] ἀρθμῷ[3]
χεῖρα[4] καμψιδίαυλον ἀναστρωφῶν[5] τάχος.

οἶδα δὲ καὶ ἄλλο ὄργανον ᾧ τῶν Θρᾳκῶν οἱ βασιλεῖς ἐν τοῖς δείπνοις χρῶνται, ὥς φησιν Νικομήδης ἐν
b τῷ περὶ Ὀρφέως. φοίνικα δὲ τὸ ὄργανον Ἔφορος καὶ Σκάμων[6] ἐν τοῖς περὶ Εὑρημάτων ὑπὸ Φοινίκων εὑρεθέντα[7] ταύτης τυχεῖν τῆς προσηγορίας. Σῆμος δὲ ὁ Δήλιος ἐν πρώτῳ Δηλιάδος διὰ τὸ ἐκ τοῦ ἐν Δήλῳ φοίνικος τοὺς ἀγκῶνας αὐτοῦ ἐξειργάσθαι.[8] τῇ σαμβύκῃ πρώτην φησὶ χρήσασθαι Σίβυλλαν, ἧς . . . Σκάμων ὁ προειρημένος ὀνομασθῆναι δ' αὐτὴν εὑρεθεῖσαν ὑπὸ Σάμβυκος τινός.

Καὶ περὶ τοῦ τρίποδος δὲ καλουμένου (ὄργανον δὲ καὶ τοῦτο μουσικόν) ὁ προειρημένος Ἀρτέμων γράφει οὕτως· "ὅθεν πολλὰ τῶν ὀργάνων οὐδ'
c εἰ γέγονέ ποτε γινώσκεται· καθάπερ ὁ Πυθαγόρου τοῦ Ζακυνθίου τρίπους. ὀλιγοχρόνιον γὰρ τὴν ἀκμὴν σχών, καὶ διὰ τὸ δοκεῖν ἐργώδης εἶναι κατὰ τὴν χειροθεσίαν, ᾗ δι' ἣν δή ποτ' οὖν αἰτίαν, συντόμως καταλυθεὶς διαλέληθε τοὺς πολλούς. ἦν δὲ παραπλήσιος μὲν Δελφικῷ τρίποδι καὶ τοὔνομ' ἐντεῦθεν ἔσχεν, τὴν δὲ χρῆσιν τριπλῆς κιθάρας παρείχετο. τῶν γὰρ ποδῶν ἑστώτων

[1] πενταράβδωι A, πενταράδῳ (sic) C, πενταρόδω E.
[2] CE: χορδὰν A. [3] Bergk: ἀριθμῶι ACE.
[4] χέρα Wilamowitz.
[5] CE: κάμψει δίαυλον ἀναστροφῶν A.
[6] 630 b, and below: σκάμμων A.
[7] εὑρεθὲν Kaibel. But though one may imagine dittography with ταύτης following, εὑρεθέντα is to be construed with φοίνικα.
[8] Schweighäuser: ἐξεργάσασθαι A.

[a] The high-flown language of the dithyramb can only be paraphrased; πενταρράβδῳ χορδᾶν ἀρθμῷ literally means

rods, while the player weaves his hands in and out with the speed of a runner rounding the course." [a] But I know also of another instrument used by the Thracian princes at their banquets, as Nicomedes says [b] in his work *On Orpheus*. This is the phoenix, the instrument which Ephorus,[c] and Scamon in his treatise *On Inventions*,[d] say was invented by the Phoenicians and so got its name. But Semus of Delos, in the first book of his *History of Delos*, says [e] that it was so named because its ribs were made of the palm-tree (phoenix) on Delos. The sambuca, he says, was first used by the Sibyl, of whom the before-mentioned Scamon . . . But he says it was named from one Sambux, its inventor.

And then with reference to the so-called tripod (for this also was a musical instrument) the before-mentioned Artemon writes as follows [f]: "Hence in the case of many instruments it is not certainly known whether they even existed [g]; such, for instance, is the tripod of Pythagoras of Zacynthos. For the vogue which it acquired was of short duration, and because it was thought to be difficult to handle, or for any reason whatever, it soon became obsolete and is totally forgotten by most people. It was like the Delphic tripod,[h]—hence its name,—but could be used as a triple harp. The three legs rested on a base

"with the five-staved joining of strings"—the strings well-stretched resembling rods (*ῥάβδοι*); *τάχος* is accus. of effect (Goodwin-Gulick Grammar § 1053 a); *καμψιδίαυλον*, "rounding the double-course" in the stadium.

[b] *F.H.G.* iv. 465, *cf.* Athen. 182 f (vol. ii. p. 306).

[c] *F.H.G.* i. 276, J. 2 A 44.

[d] *F.H.G.* iv. 490.

[e] *F.H.G.* iv. 492.

[f] *F.H.G.* iv. 342.

[g] *i.e.* they are so little known that their very existence is questioned.

[h] Athen. 456 c-d (vol. iv. p. 570).

ἐπί τινος βάσεως εὐστρόφου, καθάπερ αἱ τῶν
d περιάκτων δίφρων κατασκευάζονται θέσεις, τὰς
μέσας τρεῖς χώρας τὰς ἀπὸ ποδὸς ἐπὶ πόδα δι-
εστώσας ἐνέτεινε χορδαῖς, ὑπερθεὶς ἑκάστῃ πῆχυν
καὶ κάτω προσαρμόσας χορδοτόνια, καὶ τὸν ἐπάνω
κόσμον κοινὸν τοῦ λέβητος καὶ τῶν παρηρτημένων
ἠχείων[1] ἀποδούς· ἐξ ὧν καὶ τὴν φαντασίαν εἶχεν
ἀστείαν καὶ τὸν ἦχον προσέβαλλεν[2] ἀδρότερον.
διένειμε δ' ἑκάστῃ χώρᾳ τὰς τρεῖς ἁρμονίας, τήν
τε[3] Δωριστὶ καὶ Φρυγιστὶ καὶ Λυδιστί. καὶ καθ-
εζόμενος αὐτὸς ἐπί τινος δίφρου περὶ ταυτὸν[4]
συμμέτρως ἔχοντος[5] τῇ συστάσει, διείρας[6] δὲ τὴν
e εὐώνυμον χεῖρα πρὸς τὴν ἐπιβολήν, καὶ τῇ ἑτέρᾳ
χρησόμενος τῷ πλήκτρῳ, καθ' ὁποίαν δὴ[7] πρώτην
ἤρεῖτο τῶν ἁρμονιῶν μετέστρεφε τῷ ποδὶ τὴν
βάσιν εὔτροχον[8] οὖσαν, καὶ πρὸς ἑτέραν πλευρὰν
πάλιν ἐπιβάλλων ἐχρῆτο καὶ πάλιν ἑτέραν. οὕτω
δ' ὀξέως ὑπὸ τὴν χεῖρα προσῆγεν αὐτῷ τὰ συστή-
ματα ἡ τῆς βάσεως εὐκινησία τῷ ποδὶ ψαυομένη
καὶ τὴν χειροθεσίαν ἐπὶ τοσοῦτον εἰθίσθη[9] κατοξύ-
νειν ὥστ', εἴ τις μὴ συνορῴη τὸ γινόμενον, ἀλλὰ
διὰ τῆς ἀκοῆς μόνον κρίνοι, νομίζειν γ' κιθαρῶν[10]
f ἀκούειν διαφόρως ἡρμοσμένων. καὶ τοῦτο τὸ
ὄργανον[11] θαυμασθὲν ἰσχυρῶς μετὰ τὸν ἐκείνου βίον
ἐξέλιπεν[12] εὐθέως."

[1] ἠχείων (?) Kaibel: ἐνίων A.
[2] εἷς A, προσβάλλον (in different constr.) C.
[3] E: ἑκάστῃ χώρᾳ διένειμε τὰς τρεῖς ἁρμονίαις C, διένειμεν δ' ἑκάστῃσ χώρασ ταῖσ τρισὶν ἁρμονίαισ· τήν τε A.
[4] πρὸς αὐτὸν Wilamowitz.
[5] Schweighäuser: ἔχοντα A.
[6] διάρας Schweighäuser.
[7] Kaibel: ἂν A.

which turned easily, like the bases constructed for revolving stools; the three spaces between, from leg to leg, were tightly girded by the strings; at the top of each space was fixed a cross-arm, to which were fitted the pegs[a] below, while the upper adornment joined together the cauldron[b] with the sound-boxes; this gave an appearance of elegance and also added a more sonorous tone. Pythagoras further assigned to each space separately the three modes, the Dorian, the Phrygian, and the Lydian. He himself would sit on a stool which was of about the same proportions in construction,[c] he would insert his left hand to grasp the instrument, and as, with the other hand, he was about to strike with the plectrum, he would revolve with his foot the base, which swung about easily, and would continue his playing, striking now on one side, and again on another. The easy motion of the base, responding to the touch of his foot, brought so quickly to his hand the several parts of the instrument, and he had practised the swift manipulation of it to such a degree, that if one did not see with his own eyes what was going on, but judged it solely from hearing, he would think he was listening to three harps scaled differently. And although this instrument was admired exceedingly, after the lifetime of Pythagoras it soon went out of fashion."

[a] Lit. "string-tighteners."
[b] The basin or kettle which formed the upper part of the ordinary tripod.
[c] As the tripod.

---

[8] Musurus: εὔτροχον δ' A.
[9] ἠθίσθη A, εἴθιστο CE.
[10] Meineke: καθαριστῶν ACE.
[11] τόργανον A.
[12] CE: ἐξέλειπεν A.

Τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτόν φησιν Μέναιχμος εἰσαγαγεῖν Ἀριστόνικον τὸν Ἀργεῖον, τῇ ἡλικίᾳ γενόμενον κατὰ Ἀρχίλοχον, κατοικήσαντα ἐν Κορκύρᾳ. Φιλόχορος δ' ἐν γ' Ἀτθίδος "Λύσανδρος, φησίν, ὁ Σικυώνιος κιθαριστὴς πρῶτος μετέστησε τὴν ψιλοκιθαριστικήν, μακροὺς τοὺς τόνους ἐντείνας καὶ τὴν φωνὴν εὔογκον ποιήσας, καὶ τὴν ἔναυλον κιθάρισιν ᾗ πρῶτοι οἱ περὶ Ἐπίγονον
638 ἐχρήσαντο. καὶ περιελὼν τὴν συντομίαν τὴν ὑπάρχουσαν ἐν τοῖς ψιλοῖς κιθαρισταῖς χρώματά τε εὔχροα πρῶτος ἐκιθάρισε καὶ ἰάμβους καὶ μάγαδιν, τόν καλούμενον συριγμόν· καὶ ὄργανον μετέλαβεν[1] μόνος τῶν πρὸ αὐτοῦ, καὶ τὸ πρᾶγμα αὐξήσας χορὸν περιεστήσατο πρῶτος. Δίωνα[2] δὲ τὸν Χῖον τὸ τοῦ Διονύσου σπονδεῖον πρῶτον κιθαρίσαι Μέναιχμος. Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον[3] ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην καὶ πρῶτον ἐν Δελφοῖς κιθαρῳδῆσαι τὰς

[1] ἰαμβύκην καὶ μάγαδιν τὸν καλούμενον συριγμὸν κιθαρίζων μετέλαβεν (?) Kaibel.
[2] Ἴωνα (?) Jan.
[3] Musurus: ὡσδασαμίτωνα A.

---

[a] Lit. "bare harp-playing," *i.e.* instrumental performances without the voice of a singer, Plato, *Legg.* 669 E.
[b] *Scr. Al.* 146, frag. 6, J. 2 B 674.
[c] *F.H.G.* i. 395.
[d] He evidently increased the size of the sound-box. But L. & S. (*cf.* P.-W. vi. 69) explain ἔναυλον κιθάρισιν as harp-playing accompanied by the flute. The context, however, points only to string instruments. For Epigonus of Ambracia (sixth century B.C.), whose harp resembled that of to-day, see 183 d (vol. ii. pp. 308-310).
[e] The word συντομία, "meagreness," "thinness," seems to refer to the unadorned music of earlier times. In literary

As for solo harp-playing,[a] Menaechmus says[b] that it was introduced by Aristonicus of Argos, who belonged to the same period as Archilochus, and had settled in Corcyra. But Philochorus in the third book of his *History of Attica* declares[c]: "Lysander of Sicyon was the first harp-player to institute the new art of solo playing, tuning his strings high and making the tone full and rich, in fact giving that flute-like tone to strings[d] which Epigonus and his school were the first to adopt. He abolished the meagre simplicity[e] prevailing among the solo harpists, and introduced in his harp-playing highly-coloured variations,[f] also iambi,[g] the magadis, and the syrigmus,[h] as it is called; in fact he was the only musician who, up to his time,[i] could substitute one instrument for another, and having advanced his art to a high point he became the first to station a band of players about him. Dion of Chios, according to Menaechmus,[j] was the first to play on the harp the libation-music to Dionysus.[k] Timomachus in his *History of Cyprus* says[l] that Stesander of Samos greatly advanced the art and was the first to sing at Delphi, to harp-accom-

style *συντομία* is conciseness, opposed to *ὄγκος* Aristot. *Rhet.* iii. 6. 1.

[f] From the ordinary scales.

[g] Or "iambucae," above, 636 b (p. 433).

[h] A kind of whistle? Poll. iv. 83 has *σύριγμα*. Kaibel proposed to remove the comma after *μάγαδιν* and take *συριγμόν* in apposition with it, thus assuming another wind-instrument called magadis, as at 634 c (p. 423).

[i] Lit. "the only one of those preceding him."

[j] *Scr. Al.* 146, frag. 7, J. 2 B 674.

[k] Poll. iv. 79 *τὸ δὲ σπονδεῖον μέλος εἴποις ἂν ἐπιβώμιον* (played at the altar); iv. 84 he says it was played on the flute as a part of the Pythian nome. This Dion is wholly unknown; see critical note 2.

[l] *F.H.G.* iv. 521.

καθ' Ὅμηρον μάχας, ἀρξάμενον ἀπὸ τῆς Ὀδυσ-
b σείας. ἄλλοι δὲ πρῶτόν φασιν παρ' Ἐλευθερναίοις κιθαρίσαι τὰς ἐρωτικὰς ᾠδὰς Ἀμήτορα[1] τὸν Ἐλευθερναῖον, οὗ καὶ τοὺς ἀπογόνους Ἀμητορίδας καλεῖσθαι. Ἀριστόξενος δέ φησιν· "ὥσπερ τῶν ἐξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδὰς εὗρον, οὕτως καὶ τῆς κιθαῳδίας πρῶτος Οἰνώνας,[2] ὃν ἐζήλωσαν Πολύευκτός τε ὁ Ἀχαιὸς καὶ Διοκλῆς ὁ Κυναιθεύς." καὶ μοχθηρῶν δὲ ἀσμάτων γεγόνασι ποιηταί, περὶ ὧν φησι Φαινίας ὁ Ἐρέσιος[3] ἐν τοῖς
c πρὸς τοὺς Σοφιστὰς γράφων οὕτως· "Τελένικος ὁ Βυζάντιος, ἔτι δὲ Ἀργᾶς ποιηταὶ μοχθηρῶν ὄντες νόμων πρὸς μὲν τὸν ἴδιον χαρακτῆρα τῆς ποιήσεως εὐπόρουν, τῶν δὲ Τερπάνδρου καὶ Φρύνιδος νόμων οὐδὲ κατὰ μικρὸν ἠδύναντο ἐπιψαῦσαι." τοῦ Ἀργᾶ μνημονεύει Ἄλεξις ἐν Ἀποβάτῃ οὕτως·

Χορόνικος ὁ[4] ποιητὴς ὁδί.
Β. τίνων ποιητὴς ᾀσμάτων; Α. σεμνῶν πάνυ.
Β. τί πρὸς τὸν Ἀργᾶν οὗτος; Α. ἡμέρας δρόμῳ κρείττων.

καὶ Ἀναξανδρίδης ἐν Ἡρακλεῖ·

d ὁ μὲν γὰρ εὐφυής τις εἶναι φαίνεται·
ὡς δ' εὐρύθμως[5] λαβὼν τὸ μελετητήριον
εἶτ' ἐσχεδίασε δριμέως εν . . .[6] παπαῖ,
μεστὸς γενόμενος πρὸς τὸν Ἀργᾶν βούλομαι
κωδωνίσας πέμψαι σ' ἀγωνιούμενον,
ἵνα καὶ σὺ νικᾷς τοὺς σοφιστάς, ὦ φίλε.

[1] Hemsterhuys: *αμίτορασ* A.
[2] Jahn, Hiller: *ὀνωπασ* A, *οἰνώτας* C.
[3] *αιρέσιοσ* A.
[4] *ὁ* early edd.: om. A.
[5] Schweighäuser: *εὔρυθμοσ* A.
[6] *δριμέως. παπαῖ παπαῖ* Casaubon: *εὖ μάλα παπαῖ* Meineke.

paniment, Homer's stories of battle, beginning with the *Odyssey*. Others say that Amêtor of Eleutherna was the first to play on the harp erotic songs among the Eleuthernaeans; his descendants are called Ametoridae. Aristoxenus says[a]: "Just as certain persons have made up parodies of hexameters[b] to provoke laughter, so also Oenônas[c] introduced parodies of songs sung to the harp, and he was imitated by Polyeuctus of Achaia and Diocles of Cynaetha." There have also been composers of indecent songs; concerning these Phaenias of Eresus in his work *Against the Sophists* writes as follows[d]: "Telenicus of Byzantium, and Argas as well, who were composers of indecent nomes, were successful in their own kind of poetry, but they could not in the least degree approach the nomes of Terpander or Phrynis." This Argas is mentioned by Alexis in *The Bareback Rider* thus[e]: "A. Here comes the composer Choronicus. B. What songs does he compose? A. Very elegant ones indeed! B. How does he compare with Argas? A. He can beat him by a good day's run." And Anaxandrides in *Heracles*[f]: "It's true, he does seem to be a gifted lad; and how gracefully he took up his instrument and smartly improvised . . . But I've had my fill; I want to make a test and send you to compete against Argas, that you too, my friend, may beat the experts."

[a] *F.H.G.* ii. 285.
[b] *i.e.* epic poetry and oracles.
[c] Athen. 19 f-20 a (vol. i. p. 86); see critical note 2.
[d] *F.H.G.* ii. 299.
[e] Kock ii. 304; the title refers to a rider in the public games who leapt from one horse to another, like the Roman desultor; Plut. *Phoc.* 20.
[f] Kock ii. 141.

Ὁ δὲ τοὺς εἰς Χιωνίδην[1] ἀναφερομένους ποιήσας Πτωχοὺς Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου[2] τῆς ἱλαρᾶς μούσης, λέγων οὕτως·

ταῦτ' οὐ μὰ Δία Γνήσιππος οὐδε[3] Κλεομένης
e ἐν ἐννέ' ἂν χορδαῖς[4] κατεγλυκάνατο.

καὶ ὁ τοὺς Εἵλωτας[5] δὲ πεποιηκώς φησιν·

τὰ Στησιχόρου τε καὶ Ἀλκμᾶνος Σιμωνίδου τε
ἀρχαῖον[6] ἀείδειν. ὁ δὲ Γνήσιππος ἔστ' ἀκούειν,
ὃς νυκτερίν'[7] εὗρε μοιχοῖς ἀείσματ' ἐκκαλεῖσθαι
γυναῖκας ἔχοντας ἰαμβύκην τε καὶ τρίγωνον.

Κρατῖνος ἐν Μαλθακοῖς·

τίς ἄρ' ἐρῶντά[8] μ' οἶδεν ὦ Γνήσιππέ πω; πολλὴ χολή.[9]
οἴομαι 'γὼ[10] μηδὲν οὕτως μωρὸν εἶναι καὶ κενόν.

σκώπτει δ' αὐτὸν εἰς τὰ ποιήματα καὶ ἐν Βουκόλοις·

f ὃς οὐκ ἔδωκ' αἰτοῦντι Σοφοκλέει[11] χορόν,
τῷ Κλεομάχου[12] δ', ὃν οὐκ ἂν ἠξίουν ἐγὼ
ἐμοὶ διδάσκειν οὐδ' ἂν εἰς Ἀδώνια.[12]

[1] Musurus (*cf.* 137 e): χιωνίδη A.
[2] παιγνιογράφος Maas.
[3] Meineke: οὐδ' ὁ A.
[4] Porson: ἐννέα χορδαῖσιν A.
[5] Casaubon: ἱλεώτασ A.
[6] τε ἀρχαῖον Musurus: τἀρχαῖον A. ᾄδειν ἀρχαῖον Wilamowitz.
[7] Hermann: ἔστιν ἀκούειν κεῖνοσ νυκτερινὰ A.
[8] Dalechamps: ἔρωτα A.
[9] Dobree: γνήσιππε· ἐγὼ πολλῇ χολῃ A.
[10] 'γὼ added by Gulick, γὰρ Grotius.
[11] Meineke: σοφοκλεῖ A.

